
NICOLAUS TURCHI
IN R. ARCHIGYMNASIO ROMANO
PR. DOCTOR RELIGIONUM HISTORIAE TRADENDAE

FONTES HISTORIAE MYSTERIORUM AEVI HELLENISTICI

E GRAECIS ET LATINIS SCRIPTORIBUS SELEGIT
BREVI ADNOTATIONE INSTRUXIT



ROMA
LIBRERIA DI SCIENZE E LETTERE
DEL DOTT. G. BARDI
1930-VIII



Roma — Stabilimento Tipografico Riccardo Garroni.

Greek
Purc

CAPITUM CONSPECTUS

PRAEFATIO

Quae, aliquot abhinc annis, scriptorum Graecorum et Latinorum testimonia de Mysteriis collegeram lithographice in discipulorum usum, nunc amicorum consiliis fretus, typis edenda curavi.

Hoc potissimum in iis seligendis animadverti, ut – illis remotis quae vel mythos vel historiam vel philosophiam Mysteriorum spectarent – ea tantum relegerem quae praecipue ritus et res sacras illustrarent. Atque eo magis laborem meum his terminis saepsi, quia doctorum virorum opera non desunt qui doctrinae Orphicae (1) *documenta, Aegyptiacae* (2) *et Persicae* (3) *religionis, Cybeles* (4) *et Mithrae* (5) *Mysteriorum fontes sedula cura in unum corpus redegerint.*

Exempla quae collegi haud sunt inter se cohaerentia cum ad diversas Mysteriorum partes seu momenta, prout

(1) O. KERN, *Orphicorum Fragmenta*, Berolini, 1922.

(2) TH. HOPFNER, *Fontes historiae religionis Aegyptiacae*, Bonnae, 1922 (« Fontes historiae religionum, » II fasc. I–V).

(3) C. CLEMEN, *Fontes historiae religionis Persicae*, Bonnae, 1920 (« Fontes historiae religionum », I).

(4) H. HEPDING, *Attis seine Mythen und sein Kult*, Giessen, 1903 (« Religionsgeschichtliche Versuche un Vorarbeiten, I »).

(5) FR. CUMONT, *Textes et monuments figurés relatifs aux mystères de Mithra*, 2 voll., Bruxelles, 1896–1900.

a scriptoribus veluti per transennam traduntur, referantur. Sed ipsorum mutuam correlationem candidus lector inveniet in libro quem inscripsi Le religioni misteriosofiche del mondo antico, *(Roma, Bardi, 1923), in quo, capta occasione, numeri singulorum exemplorum, ad fulciendam veterum testimoniis expositionem, citantur.*

Attamen si quis sedula oculorum acie seriem exemplorum perlegerit consideraverit comparaverit, Hierologia duce et magistra, inveniet Mysteria omnia 1) ex communi origine magico–agraria profecta, 2) postea in figuram alicuius divinitatis (puta Orphei, Dionysi, Attidos, Osiridis, ecc.) mythice expressa, quae ut origo prima et consummatio ultima Mysterii perhibetur, 3) tandem in spe beatae immortalitatis assequendae exhauriuntur ad instar Fundatoris cui mystae, cuiusque generis vel nationis, per initiationem assimilantur.

Quorum trium congruentia, in tanta diversitate regionum, civilis cultus et gentium in quibus Mysteria orta sunt, iam ex se ipsa sufficit ad huius religionis genus adumbrandum.

Exempla auctorum classicorum desumpsi ex Bibliotheca Teubneriana; scriptorum Christianorum Graecorum ex Corpore Berolinensi, Latinorum vero ex Corpore Viennensi; quae deficerent supplevi ex Mignei Patrologia. Documenta distribui, in singulis Mysteriis, in sectiones quae meo iudicio aptiores visae sunt ad eorum naturam demonstrandam; in quavis sectione auctores aetatis ordine disposui. Notas brevissimas ex opportunitate tantum vel lectionis vel sensus adieci.

Romae, kal. maiis MCMXXIII; kal. dec. MCMXXIX

NICOLAUS TURCHI.

I

DE MYSTERIIS ORPHICO-DIONYSIACIS

I.

DE POLYMYTHIA DIONYSIACA

1.

Diodorus Siculus

(* Agyrii c. 90 a. Chr. — † aetate Augusti imp.)

Biblioth. histor. 3, 62–64 (Vogel): τῶν δὲ παλαιῶν μυθογράφων καὶ ποιητῶν περὶ Διονύσου γεγραφότων ἀλλήλοις ἀσύμφωνα, καὶ πολλοὺς καὶ τερατώδεις λόγους καταβεβλημένων, δυσχερές ἐστιν ὑπὲρ τῆς γενέσεως τοῦ θεοῦ τούτου καὶ τῶν πράξεων καθαρῶς εἰπεῖν. οἱ μὲν γὰρ ἕνα Διόνυσον, οἱ δὲ τρεῖς γεγονέναι παραδεδώκασιν, εἰσὶ δ' οἱ γένεσιν μὲν τούτου ἀνθρωπόμορφον μὴ γεγονέναι τὸ παράπαν ἀποφαινόμενοι, τὴν δὲ τοῦ οἴνου δόσιν Διόνυσον εἶναι νομίζοντες. διόπερ ἡμεῖς τῶν παρ' ἑκάστοι λεγομένων τὰ κεφάλαια πειρασόμεθα συντόμως ἐπιδραμεῖν. οἱ τοίνυν φυσιολογοῦντες περὶ τοῦ θεοῦ τούτου, καὶ τὸν ἀπὸ τῆς ἀμπέλου καρπὸν Διόνυσον ὀνομάζοντές φασι τὴν γῆν αὐτομάτως μετὰ τῶν ἄλλων φυτῶν ἐνεγκεῖν καὶ τὴν ἄμπελον, ἀλλ' οὐκ ἐξ ἀρχῆς ὑπό τινος εὑρετοῦ φυτευθῆναι. τεκμήριον δ' εἶναι τούτου τὸ μέχρι τοῦ νῦν ἐν πολλοῖς τόποις ἀγρίας ἀμπέλους φύεσθαι, καὶ καρποφορεῖν αὐτὰς παραπλησίως ταῖς ὑπὸ

2 μυθογράφοι: ii sunt, iuxta realisticam D. exegesim, qui de diis evhemeristicam interpretationem defendunt et Dionysum ut hominem post mortem, ob egregia facinora, divum factum considerant. 12 φυσιολογοῦντες contra sunt qui deos ut figuras rerum naturalium (ex. gr. Dionysum ut vitem) interpretantur.

τῆς ἀνθρωπίνης ἐμπειρίας χειρουργουμέναις. διμήτορα δὲ Διόνυσον ὑπὸ τῶν παλαιῶν ὠνομάσθαι, μιᾶς μὲν καὶ πρώτης γενέσεως ἀριθμουμένης ὅταν τὸ φυτὸν εἰς τὴν γῆν τεθὲν λαμβάνῃ τὴν αὔξησιν, δευτέρας δ' ὅταν βρίθῃ, καὶ τοὺς βότρυς πεπαίνῃ, ὥστε τὴν μὲν ἐκ γῆς, τὴν δ'ἐκ τῆς ἀμπέλου γένεσιν τοῦ θεοῦ νομίζεσθαι. παραδεδωκότων δὲ τῶν μυθογράφων καὶ τρίτην γένεσιν, καθ' ἣν φασι τὸν θεὸν ἐκ Διὸς καὶ Δήμητρος τεκνωθέντα, διασπασθῆναι μὲν ὑπὸ τῶν γηγενῶν καὶ καθεψηθῆναι, πάλιν δ' ὑπὸ τῆς Δήμητρος τῶν μελῶν συναρμοσθέντων, ἐξ ἀρχῆς νέον γεννηθῆναι, εἰς φυσικάς τινας αἰτίας μετάγουσι τοὺς τοιούτους λόγους.

63. τῶν δὲ μυθογράφων οἱ σωματοειδῆ τὸν θεὸν παρεισάγοντες, τὴν μὲν εὕρεσιν τῆς ἀμπέλου καὶ φυτείαν καὶ πᾶσαν τὴν περὶ τὸν οἶνον πραγματείαν συμφώνως αὐτῷ προσάπτουσι, περὶ δὲ τοῦ πλείους γεγονέναι Διονύσους ἀμφισβητοῦσιν· ἔνιοι μὲν γὰρ ἕνα καὶ τὸν αὐτὸν ἀποφαίνονται γενέσθαι, τόν τε καταδείξαντα τὰ κατὰ τὰς οἰνοποιίας καὶ συγκομιδὰς τῶν ξυλίνων καλουμένων καρπῶν καὶ τὸν στρατευσάμενον ἐπὶ πᾶσαν τὴν οἰκουμένην, ἔτι δὲ τὸν τὰ μυστήρια καὶ τελετὰς καὶ βακχείας εἰσηγησάμενον· ἔνιοι δέ, καθάπερ προεῖπον, τρεῖς ὑποστησάμενοι γεγονέναι κατὰ διεστηκότας χρόνους, ἑκάστῳ προσάπτουσιν ἰδίας πράξεις· καί φασι τὸν μὲν ἀρχαιότατον Ἰνδὸν γεγονέναι, καὶ τῆς χώρας αὐτομάτως διὰ τὴν εὐκρασίαν φερούσης πολλὴν ἄμπελον πρῶτον τοῦτον ἀποθλίψαι βότρυας, καὶ τὴν χρείαν τῆς περὶ τὸν οἶνον φύσεως ἐπινοῆσαι.

64. δεύτερον δὲ μυθολογοῦσι γενέσθαι Διόνυ-

σον ἐκ Διὸς αἰ Φερσεφόνης, ὡς δέ τινες, ἐκ Δήμητρος. τοῦτον δὲ παρεισάγουσι πρῶτον βοῦς ὑπ' ἄροτρον ζεῦξαι, τὸ πρὸ τοῦ ταῖς χερσὶ τῶν ἀνθρώπων τὴν γῆν κατεργαζομένων. πολλὰ δὲ καὶ ἄλλα φιλοτέχνως ἐπινοῆσαι τῶν πρὸς τὴν γεωργίαν χρησίμων, δι' ὧν ἀπολυθῆναι τοὺς ὄχλους τῆς πολλῆς κακοπαθείας. ἀνθ' ὧν τοὺς εὖ παθόντας ἀπονεῖμαι τιμὰς ἰσοθέους αὐτῷ καὶ θυσίας, προθύμως ἁπάντων ἀνθρώπων διὰ τὸ μέγεθος τῆς εὐεργεσίας ἀπονειμάντων τὴν ἀθανασίαν. παράσημον δ' αὐτῷ ποιῆσαι κέρατα τοὺς κατασκευάζοντας τὰς γραφὰς ἢ τοὺς ἀνδριάντας, ἅμα μὲν δηλοῦντας ἑτέραν Διονύσου φύσιν, ἅμα δὲ ἀπὸ τῆς περὶ τὸ ἄροτρον εὑρέσεως ἐμφαίνοντας τὸ μέγεθος τῆς ἐπινοηθείσης τοῖς γεωργοῖς εὐχρηστίας. τρίτον δὲ γενέσθαι Διόνυσόν φασιν ἐν Θήβαις ταῖς Βοιωτίαις ἐκ Διὸς καὶ Σεμέλης τῆς Κάδμου. μυθολογοῦσι γὰρ ἐρασθέντα Δία μιγῆναι πλεονάκις αὐτῇ διὰ τὸ κάλλος, τὴν δ' Ἥραν ζηλοτυποῦσαν κα βουλομένην τιμωρίᾳ περιβαλεῖν τὴν ἄνθρωπον, ὁμοιωθῆναι μέν τινι τῶν ἀποδοχῆς τυγχανουσῶν παρ' αὐτῇ γυναικῶν, παρακρούσασθαι δὲ τὴν Σεμέλην· εἰπεῖν γὰρ πρὸς αὐτήν, ὅτι καθῆκον ἦν τὸν Δία μετὰ τῆς αὐτῆς ἐπιφανείας τε καὶ τιμῆς ποιεῖσθαι τὴν ὁμιλίαν ᾗπερ χρᾶται κατὰ τὴν πρὸς τὴν Ἥραν συμπεριφοράν. διὸ καὶ τὸν μὲν Δία, τῆς Σεμέλης ἀξιούσης τυγχάνειν τῶν ἴσων Ἥρᾳ τιμῶν, παραγενέσθαι μετὰ βροντῶν καὶ κεραυνῶν, τὴν δὲ Σ μέλην οὐχ ὑπομείνασαν τὸ μέγεθος τῆς περιστάσεως τελ:υτῆσαι καὶ τὸ βρέφος ἐκτρῶσαι πρὸ τοῦ καθήκοντος χρόνου. καὶ τοῦτο μὲν τὸν Δία ταχέως εἰς τὸν ἑαυτοῦ μηρὸν ἐγκρύψαι· μετὰ δὲ ταῦτα τοῦ

κατὰ φύσιν τῆς γενέσεως χρόνου τὴν τελείαν αὔξησιν ποιήσαντος ἀπενεγκεῖν τὸ βρέφος εἰς Νύσαν τῆς Ἀραβίας. ἐνταῦθα δ' ὑπὸ νυμφῶν τραφέντα τὸν παῖδα προσαγορευθῆναι μὲν ἀπὸ τοῦ πατρὸς καὶ τοῦ τόπου Διόνυσον, γενόμενον δὲ τῷ κάλλει διάφορον, τὸ μὲν πρῶτον ἐν χορείαις καὶ γυναικῶν θιάσοις καὶ παντοδαπῇ τρυφῇ καὶ παιδιᾷ διατελεῖν· μετὰ δὲ ταῦτα στρατόπεδον ἐκ τῶν γυναικῶν συναγαγόντα καὶ θύρσοις καθοπλίσαντα στρατείαν ἐπὶ πᾶσαν ποιήσασθαι τὴν οἰκουμένην. καταδεῖξαι δὲ καὶ τὰ περὶ τὰς τελετὰς καὶ μεταδοῦναι τῶν μυστηρίων τοῖς εὐσεβέσι τῶν ἀνθρώπων καὶ δίκαιον βίον ἀσκοῦσι, πρὸς δὲ τούτοις πανταχοῦ πανηγύρεις ἄγειν καὶ μουσικοὺς ἀγῶνας συντελεῖν, καὶ τὸ σύνολον συλλύοντα τά νείκη τῶν ἐθνῶν καὶ πόλεων ἀντὶ τῶν στάσεων καὶ τῶν πολέμων ὁμόνοιαν καὶ πολλὴν εἰρήνην κατασκευάζειν.

2.

Cicero

(* Arpini 106 — † 43 a. Chr.)

de nat. deor. 3, 58 (C. F. W. Müller): Dionysos multos habemus, primum Iove et Proserpina natum, secundum Nilo, qui Nysam dicitur interemisse, tertium Cabiro patre, eumque regem Asiae praefuisse dicunt, cui Sabazia sunt instituta, quartum Iove et Luna, cui sacra Orphica putantur confici, quintum Niso natum et Thyone, a quo Trieterides constitutae putantur.

20 codd. *condidisse*. 21 de cultu Cabirorum Boeotico agit. 24 Thyone e rad. θυ (e qua etiam θυάς, *bacchas*) singularis et viva expressio est furoris dionysiaci. 7 Trieterides: sacra solemnia tertio quoque anno celebrata.

3.

Ampelius

(Saeculo II medio p. Chr. floruit)

Lib. mem. 9 (Wölfflin): Liberi quinque: primus ex Iove et Proserpina: hic agricola et inventor vini cuius soror Ceres. Secundus Liber ex Melone et Flora cuius nomine fluvius est † Granicus, tertius de Cabiro, qui regnavit in Asia; quartus ex Saturnio et Semela, ** dicunt; quintus Nisi et Thyonae filius.

4.

Iohannes Lydus

(* c. 490 Philadelphiae — † c. 565 p. Chr.)

de mens. 4,51 (Wünsch): Κατὰ δὲ τοὺς ποιητὰς Διόνυσοι πέντε· πρῶτος Διὸς καὶ Λυσιθέας, δεύτερος ὁ Νείλου, ὁ καὶ βασιλεύσας Λιβύης καὶ Αἰθιοπίας καὶ Ἀραβίας· τρίτος Καβείρου παῖς, ὅστις τῆς ⟨Ἀσίας⟩ ἐβασίλευσε, ἀφ' οὗ ἡ Καβειρικὴ τελετή· τέταρτος ὁ Διὸς καὶ Σεμέλης, ᾧ τὰ Ὀρφέως μυστήρια ἐτελεῖτο καὶ ὑφ' οὗ οἶνος ἐκεράσθη. Πέμπτος ὁ Νίσου καὶ Θυώνης, ὅς κατέδειξε τριετηρίδα.

II.

DE THRACIA DIONYSI (SABATII) ORIGINE

5.

Homerus

(Saeculo IX (?) a. Chr. floruit)

Iliad. 6, 130-136 (Dindorf-Hentze):

οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς κρατερὸς Λυκόοργος,

3. Melone id est Nilo. 8. codd. Λευκοθέας. 11. Suppl. e Cic. n. deor. 3, 58. 16. Λυκοῦργος: filius Dryantis regis Edonorum Thraciae.

δὴν ἦν, ὅς ῥα θεοῖσιν ἐπουρανίοισιν ἔριζεν.
ὅς ποτε μαινομένοιο Διωνύσοιο τιθήνας
σεῦε κατ' ἠγάθεον Νυσήιον· αἱ δ' ἅμα πᾶσαι
θύσθλα χαμαὶ κατέχευαν, ὑπ' ἀνδροφόνοιο Λυκούργου
θεινόμεναι βουπλῆγι· Διώνυσος δὲ φοβηθεὶς
δύσεθ' ἁλὸς κατὰ κῦμα....

6.

Herodotus

(* Halicarnassi c. 480 — † c. 426 a. Chr.)

Hist. 4, 108 (Dietsch-Kallenberg): (οἱ Γελωνοί) τῷ Διονύσῳ τριετηρίδας ἀνάγουσι καὶ βακχεύουσι.

7.

Scholia in Aristophanem.

(Aetate hellenistica labente scripta sunt.)

in Vespas, 9 (Dübner): Σαβάζιον δὲ τὸν Διόνυσον οἱ Θρᾷκες καλοῦσι καὶ Σαβοὺς τοὺς ἱεροὺς αὐτῶν.

8.

in Aves, 874 (Dübner): φαίνεται γὰρ ἐξ ὧν εὑρίσκομεν συλλογιζόμενοι πολλαχόθεν ὅτι Διόνυσος καὶ Σαβάζιος εἷς ἐστι θεός, τυχεῖν δὲ τῆς προσηγορίας ταύτης παρὰ τὸν γινόμενον περὶ αὐτὸν θειασμόν·

2. τιθήνας: *nutrices* scilicet maenades, bacchae, quae coetum tripudiantem Dionysi constituebant. 3. Νυσήιον: Nysae mons in Thracia qui ad nomen Dionysi refertur. 5. βουπλῆγι: aptius hic de ascia quam de stimulo intelligitur. 9. Γελωνοί: populus regionem Thraciam incolens.

τὸ γὰρ εὐάζειν οἱ βάρβαροι σαβάζειν φασίν. ὅθεν καὶ τῶν Ἑλλήνων τινὲς ἀκολουθοῦντες, τὸν εὐασμὸν σαβασμὸν λέγουσιν.

III.

DE THRACUM FIDE IN ANIMORUM IMMORTALITATEM

9.

Herodotus

(* Halicarnassi c 480 — † c. 426 a. Chr.)

Hist. 4, 94 (Dietsch - Kallenberg): ἀθανατίζουσι δὲ (οἱ Γέται) τόνδε τὸν τρόπον· οὔτε ἀποθνήσκειν ἑωυτοὺς νομίζουσι, ἰέναι τε τὸν ἀπολλύμενον παρὰ Ζάλμοξιν δαίμονα.

10.

Pomponius Mela

(* in Iberia, aetate Claudii imp. floruit)

Chorogr. 2, 2 (Frick): una gens Thraces habitant, aliis aliisque praediti et nominibus et moribus. quidam feri sunt et paratissimi ad mortem, Getae utique. id varia opinio perficit; alii redituras putant animas obeuntium, alii etsi non redeant non extingui tamen, sed ad beatiora transire, alii emori quidem sed id melius esse quam vivere. itaque lugentur apud quosdam puerperia natique deflentur, funera contra festa sunt, et veluti sacra cantu lusuque celebrantur.

IV.

DE ORGIIS BACCHICIS ET OMOPHAGIA

11.

Euripides

(* Salaminae 480 — † 406 a. Chr.)

Bacch. 72-77 (Nauck):

ὦ μάκαρ, ὅστις εὐδαίμων
τελετὰς θεῶν εἰδὼς
βιοτὰν ἁγιστεύει
καὶ θιασεύεται ψυχὰν,
ἐν ὄρεσσι βακχεύων
ὁσίοις καθαρμοῖσιν.

12.

Bacch. 130-140 (Nauck):

παρὰ δὲ μαινόμενοι Σάτυροι
ματέρος ἐξανύσαντο θεᾶς,
εἰς δὲ χορεύματα
συνῆψαν τριετηρίδων,
αἷς χαίρει Διόνυσος.
ἡδὺς ἐν οὔρεσιν εὖτ' ἂν
ἐκ θιάσων δρομαίων
σεύῃ πεδόσε, νεβρίδος ἔχων
ἱερὸν ἐνδυτόν, ἀγρεύων
αἷμα τραγοκτόνον, ὠμόφαγον χάριν,
ἱέμενος εἰς ὄρεα Φρύγια Λύδια.

16 codd: πέσῃ.

13.

Bacch. 699-711 (Nauck):
αἳ δ' ἀγκάλαισι δορκάδ' ἢ σκύμνους λύκων
ἀγρίους ἔχουσαι λευκὸν ἐδίδοσαν γάλα,
ὅσαις νεοτόκοις μαστὸς ἦν σπαργῶν ἔτι
βρέφη λιπούσαις· ἐπὶ δ' ἔθεντο κισσίνους
στεφάνους δρυός τε μίλακός τ' ἀνθεσφόρου·
θύρσον δέ τις λαβοῦσ' ἔπαισεν εἰς πέτραν,
ὅθεν δροσώδης ὕδατος ἐκπηδᾷ νοτίς·
ἄλλη δὲ νάρθηκ' εἰς πέδον καθῆκε γῆς,
καὶ τῇδε κρήνην ἐξανῆκ' οἴνου θεός·
ὅσαις δὲ λευκοῦ πώματος πόθος παρῆν,
ἄκροισι δακτύλοισι διαμῶσαι χθόνα
γάλακτος ἑσμοὺς εἶχον· ἐκ δὲ κισσίνων
θύρσων γλυκεῖαι μέλιτος ἔσταζον ῥοαί.

14.

Demosthenes

(* Athenis 384 — † 322 a. Chr.)

de cor. 259 (Dindorf): ἀνὴρ δὲ (ὦ Αἰσχίνη) γενόμενος τῇ μητρὶ τελούσῃ τὰς βίβλου ἀνεγίγνωσκες καὶ τἄλλα συνεσκευωροῦ, τὴν μὲν νύκτα νεβρίζων καὶ κρατηρίζων, καὶ καθαίρων τοὺς τελουμένους κἀπομάττων τῷ πηλῷ καὶ τοῖς πιτύροις, καὶ ἀνιστὰς ἀπὸ τοῦ καθαρμοῦ κελεύων λέγειν « ἔφυγον κακόν, εὗρον ἄμεινον » ἐπὶ τῷ μηδένα πώποτε τηλικοῦτ' ὀλολύξαι σεμνυνόμενος (καὶ ἔγωγε νομίζω· μὴ γὰρ οἴεσθ' αὐτόν, φθέγγεσθαι μὲν οὕτω μέγα, ὀλολύζειν δ'οὐχ ὑπέρλαμπρον) ἐν δὲ ταῖς ἡμέραις τοὺς καλοὺς

θιάσους ἄγων διὰ τῶν ὁδῶν, τοὺς ἐστεφανωμένου τῷ μαράθῳ καὶ τῇ λεύκῃ, τοὺς ὄφεις τοὺς παρεία θλίβων καὶ ὑπὲρ τῆς κεφαλῆς αἰωρῶν, καὶ βοῶ εὐοῖ σαβοῖ, καὶ ἐπορχούμενος ὕης ἄττης ἄττης ὕη ἔξαρχος καὶ προηγεμὼν καὶ κιττοφόρος καὶ λικνοφόρος καὶ τοιαῦθ' ὑπὸ τῶν γραδίων προσαγορευόμενος, μισθὸν λαμβάνων τούτων ἔνθρυπτα καὶ στρεπτοὺς καὶ νεήλατα, ἐφ' οἷς τίς οὐκ ἂν ὡς ἀληθῶς αὐτὸν εὐδαιμονίσειε καὶ τὴν αὐτοῦ τύχην;

15.

Cicero

(* Arpini 106 — † 43 a. Chr.)

de divinat. 1, 114 (C. F. W. Müller): Ergo et ii, quorum animi spretis corporibus evolant atque excurrunt foras, ardore aliquo inflammati atque incitati cernunt illa profecto, quae vaticinantes pronuntiant, multisque rebus inflammantur tales animi, qui corporibus non inhaerent: ut ii qui sono quodam vocum et Phrygiis cantibus incitantur.

16.

Plutarchus

(* Chaeroneae in Boeotia c. 50 a. Chr. — † c. 125 p. Chr.)

Alex. 2 (Sintenis): ἕτερος δὲ περὶ τούτων ἐστὶ λόγος, ὡς πᾶσαι μὲν αἱ τῇδε γυναῖκες ἔνοχοι τοῖς Ορφικοῖς οὖσαι καὶ τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς ἐκ τοῦ πάνυ παλαιοῦ, Κλώδωνές τε καὶ Μιμαλ-

20. Κλώδωνες: Macedoniae maenades, iuxta Etym. M. a κλώζειν, *strepere*, appellatae. 20 Μιμαλλόνες. aliud nomen Macedonicarum maenadum, e semitica rad: *mlh*, ex profluvio (vini) derivatum.

λόνες ἐπωνυμίαν ἔχουσαι, πολλὰ ταῖς Ἠδωνίσι καὶ ταῖς περὶ τὸν Αἷμον Θρῄσσαις ὅμοια δρῶσιν, ἀφ' ὧν δοκεῖ καὶ τὸ θρησκεύειν ὄνομα ταῖς κατακόροις γενέσθαι καὶ περιέργοις ἱερουργίαις, ἡ δὲ Ὀλυμπιὰς μᾶλλον ἑτέρων ζηλώσασα τὰς κατοχάς, καὶ τοὺς ἐνθουσιασμοὺς ἐξάγουσα βαρβαρικώτερον ὄφεις μεγάλους χειροήθεις ἐφείλκετο τοῖς θιάσοις, οἱ πολλάκις ἐκ τοῦ κιττοῦ καὶ τῶν μυστικῶν λίκνων παραναδυόμενοι καὶ περιελιττόμενοι τοῖς θύρσοις τῶν γυναικῶν καὶ τοῖς στεφάνοις ἐξέπληττον τοὺς ἄνδρας·

17.

Diodorus Siculus

(* Agyrii c. 90 a. C. — † aetate Augusti imp.)

Bibl. histor. 4, 3, 2 (Vogel): καὶ τοὺς μὲν Βοιωτοὺς καὶ τοὺς ἄλλους Ἕλληνας καὶ Θρᾷκας ἀπομνημονεύοντας τῆς κατὰ τὴν Ἰνδικὴν στρατείας καταδεῖξαι τὰς τριετηρίδας θυσίας Διονύσῳ, καὶ τὸν θεὸν νομίζειν κατὰ τὸν χρόνον τοῦτον ποιεῖσθαι τὰς παρὰ τοῖς ἀνθρώποις ἐπιφανείας. διὸ καὶ παρὰ πολλαῖς τῶν Ἑλληνίδων πόλεων διὰ τριῶν ἐτῶν βακχεῖά τε γυναικῶν ἀθροίζεσθαι, καὶ ταῖς παρθένοις νόμιμον εἶναι θυρσοφορεῖν καὶ συνενθουσιάζειν εὐαζούσαις καὶ τιμώσαις τὸν θεόν.

18.

Strabo

(* Amaseae Ponti c. 60 a. Chr. — † c. 25 p. Chr.)

10, 3, 15-16 (Meineke): τῷ δ' αὐλῷ, καὶ κτύπῳ κροτάλων τε καὶ κυμβάλων καὶ τυμπάνων καὶ

ταῖς ἐπιβοήσεσι, καὶ εὐασμοῖς καὶ ποδοκρουστίαις οἰκεῖα ἐξεύροντο, καί τινα τῶν ὀνομάτων, ἃ τοὺς προπόλους καὶ χορευτὰς καὶ θεραπευτὰς τῶν ἱερῶν ἐκάλουν, Καβείρους καὶ Κορύβαντας καὶ Πᾶνας καὶ Σατύρους καὶ Τιτύρους καὶ τὸν θεὸν Βάκχον καὶ τὴν Ῥέαν Κυβέλην καὶ Κυβήβην καὶ Δινδυμήνην κατὰ τοὺς τόπους αὐτούς. καὶ ὁ Σαβάζιος δὲ τῶν Φρυγιακῶν ἐστι καὶ τρόπον τινὰ τῆς μητρὸς τὸ παιδίον παραδοὺς τὰ τοῦ Διονύσου καὶ αὐτός.

Τούτοις δ' ἔοικε καὶ τὰ παρὰ τοῖς Θρᾳξὶ τά τε Κοτύττια καὶ τὰ Βενδίδεια, παρ' οἷς καὶ τὰ Ὀρφικὰ τὴν καταρχὴν ἔσχε. τῆς μὲν οὖν Κότυος τῆς ἐν τοῖς Ἠδωνοῖς Αἰσχύλος μέμνηται καὶ τῶν περὶ αὐτὴν ὀργάνων. εἰπὼν γάρ, « Σεμνὰ Κότυς, ἐν τοῖς « Ἠδωνοῖς, ὄρεια δ' ὄργαν ἔχοντες, τοὺς περὶ τὸν « Διόνυσον εὐθέως ἐπιφέρει, ὁ μὲν ἐν χερσὶν βόμβυκας « ἔχων, τόρνου κάματον δακτυλόδικτον, πίμπλησι « μέλος, μανίας ἐπαγωγὸν ὁμοκλάν· ὁ δὲ χαλκο- « δέτοις κοτύλαις ὀτοβεῖ ». καὶ πάλιν: « ψαλμὸς « δ' ἀλαλάζει· ταυρόφθογγοι δ' ὑπομυκῶνταί ποθὲν « ἐξ ἀφανοῦς φοβεροὶ μῖμοι, τυμπάνου δ' εἰκὼν ὥσθ' « ὑπογαίου βροντῆς, φέρεται βαρυταρβὴς ». ταῦτα γὰρ ἔοικε τοῖς Φρυγίοις· καὶ οὐκ ἀπεικός γε, ὥσπερ αὐτοὶ οἱ Φρύγες Θρᾳκῶν ἄποικοί εἰσιν, οὕτω καὶ τὰ ἱερὰ ἐκεῖθεν μετενηνέχθαι. καὶ τὸν Διόνυσον δὲ καὶ τὸν Ἠδωνὸν Λυκοῦργον συνάγοντες εἰς ἓν τὴν ὁμοιοτροπίαν τῶν ἱερῶν αἰνίττονται.

20 Versus hi respondent Trag. Graec. Fr. 56 (Nauck).

19.

Plutarchus

(* Chaeroneae in Boeotia 50 a. Chr. — † c. 125 p. Chr.)

ad ux. 10 (Bernardakis): καὶ μὴν ἃ τῶν ἄλλων ἀκούεις, οἳ πείθουσι πολλοὺς λέγοντες ὡς οὐδὲν οὐδαμῇ τῷ διαλυθέντι κακὸν οὐδὲ λυπηρόν ἐστιν, οἶδ᾽ ὅτι κωλύει σε πιστεύειν ὁ πάτριος λόγος καὶ τὰ μυστικὰ σύμβολα τῶν περὶ τὸν Διόνυσον ὀργιασμῶν, ἃ σύνισμεν ἀλλήλοις οἱ κοινωνοῦντες.

20.

Clemens Alexandrinus

(* Athenis (?) c. 150 — † c. 215 p Chr.)

Protr. 2, 12 (Stählin): Διόνυσον μαινόλην ὀργιάζουσι βάκχοι, ὠμοφαγίᾳ τὴν ἱερομανίαν ἄγοντες καὶ τελίσκουσι τὰς κρεονομίας τῶν φόνων ἀνεστεμμένοι τοῖς ὄφεσιν, ἐπολολύζοντες Εὐάν, Εὐάν ἐκείνην, δι᾽ ἣν ἡ πλάνη παρηκολούθησεν· καὶ σημεῖον ὀργίων βακχικῶν ὄφις ἐστὶ τετελεσμένος.

21.

Scholia in Clem. Alex.

1, 433 (Dindorf): ὠμὰ ἔσθιον κρέα οἱ μυούμενοι Διονύσῳ δεῖγμα τοῦτο τελούμενοι τοῦ σπαραγμοῦ ὃν ὑπέστη Διόνυσος ὑπὸ Τιτάνων.

4. πάτριος λόγος dicitur hic de traditione religiosa ab omnibus Graecis recepta. 12 τοῖς τετελεσμένοις Markland.

22.

Arnobius

(* Siccae in Africa, aetate Diocletiani imp. floruit)

adv. nat. 5, 19 (Reifferscheid): Bacchanalia etiam praetermittemus inmania quibus nomen Omophagiis graecum est, in quibus furore mentito et sequestrata pectoris sanitate, circumplicatis vos anguibus, atque ut vos plenos dei numine et maiestate doceatis, caprorum reclamantium viscera cruentatis oribus dissipatis.

V.

DE RITU BACCHICAE INITIATIONIS

23.

Clemens Alexandrinus

(* Athenis (?) c. 150 — † c. 215 p. Chr.)

Protr. 2, 16, 2 (Stählin): Σαβαζίων γοῦν μυστηρίων σύμβολον τοῖς μυουμένοις ὁ διὰ κόλπου θεός· δράκων δέ ἐστιν οὗτος, διελκόμενος τοῦ κόλπου τῶν τελουμένων, ἔλεγχος ἀκρασίας Διός· κυεῖ καὶ ἡ Φερέφαττα παῖδα ταυρόμορφον· ἀμέλει, φησί τις ποιητὴς εἰδωλικός,

ταῦρος δράκοντος καὶ πατὴρ ταύρου δράκων,
ἐν ὄρει τὸ κρύφιον, βουκόλος, τὸ κέντρον,

βουκολικόν, οἶμαι, κέντρον τὸν νάρθηκα ἐπικαλῶν, ὃν δὴ ἀναστέφουσιν οἱ βάκχοι.

12 Φερεφάττα: Περ(σ)ε-φόνη, Persephone, Plutonis uxor et Dionysi-Zagrei mater. 15 ἐν ὄρει τὸ] ἐνερείδει Lobeck. 16 βουκολικόν οἶμαι] βουκόλον, οἶμαι, τὸν βάκχον Lobeck. 16 ἐπικαλῶν] codd: ἐπιτελῶν.

24.

Arnobius

(* Siccae in Africa, aetate Diocletiani imp. vixit)

adv. nat. 5, 21 (Reifferscheid): ipsa novissime sacra et ritus initiationis ipsius, quibus Sebadiis nomen est, testimonio esse poterunt veritati: in quibus aureus coluber in sinum demittitur consecratis et eximitur rursus ab inferioribus partibus atque imis.

25.

Firmicus Maternus

(* in Sicilia, aetate succ. Constantini imp. vixit)

de errore prof. rel. 10 (Halm): Sebazium colentes Iovem anguem, cum initiant, per sinum ducunt: adhuc primi erroris vitia grassantur et quicquid homines perdidit colitur et funesti anguis callida ac malitiosa crudelitas adoratur.

VI.

DE CONTEMPTORUM CULTUS DIONYSIACI PUNITIONE

26.

(Pseudo) Apollodorus

(Auctor primis Imp. Rom. saeculis vixit)

Biblioth, 2, 2, 2 (Bekker): καὶ γίνεται Ἀκρισίῳ μὲν ἐξ Εὐρυδίκης τῆς Λακεδαίμονος Δανάη, Προίτῳ

δὲ ἐκ Σθενεβοίας Λυσίππη καὶ Ἰφιάνασσα. αὗται δὲ ὡς ἐτελειώθησαν, ἐμάνησαν, ὡς μὲν Ἡσίοδός φησιν, ὅτι τὰς Διονύσου τελετὰς οὐ κατεδέχοντο, ὡς δὲ Ἀκουσίλαος λέγει, διότι τὸ τῆς Ἥρας ξόανον ἐξηυτέλισαν. γενόμεναι δὲ ἐμμανεῖς ἐπλανῶντο ἀνὰ τὴν Ἀργείαν ἅπασαν, αὖθις δὲ τὴν Ἀρκαδίαν καὶ τὴν Πελοπόννησον διελθοῦσαι μετ' ἀκοσμίας ἀπάσης διὰ τῆς ἐρημίας ἐτρόχαζον.

Μελάμπους δὲ ὁ Ἀμυθάονος καὶ Εἰδομένης τῆς Ἄβαντος, μάντις ὤν, καὶ τὴν διὰ φαρμάκων καὶ καθαρμῶν θεραπείαν πρῶτος εὑρηκώς, ὑπισχνεῖται θεραπεύσειν τὰς παρθένους, εἰ λάβοι τὸ τρίτον μέρος τῆς δυναστείας. οὐκ ἐπιτρέποντος δὲ Προίτου θεραπεύειν ἐπὶ μισθοῖς τηλικούτοις, ἔτι μᾶλλον ἐμαίνοντο αἱ παρθένοι καὶ προσέτι μετὰ τούτων αἱ λοιπαὶ γυναῖκες· καὶ γὰρ αὗται τὰς οἰκίας ἀπολιποῦσαι τοὺς ἰδίους ἀπώλλυον παῖδας καὶ εἰς τὴν ἐρημίαν ἐφοίτων. προβαινούσης δὲ ἐπὶ πλεῖστον τῆς συμφορᾶς, τοὺς αἰτηθέντας μισθοὺς ὁ Προῖτος ἐδίδου. ὃ δὲ ὑπέσχετο θεραπεύσειν ὅταν ἕτερον τοσοῦτον τῆς γῆς ὁ ἀδελφὸς αὐτοῦ λάβῃ Βίας. Προῖτος δὲ εὐλαβηθεὶς μὴ βραδυνούσης τῆς θεραπείας αἰτηθείη καὶ πλεῖον, θεραπεύειν συνεχώρησεν ἐπὶ τούτοις. Μελάμπους δὲ παραλαβὼν τοὺς δυνατωτάτους τῶν νεανιῶν μετ' ἀλαλαγμοῦ καί τινος ἐνθέου χορείας ἐκ τῶν ὀρῶν αὐτὰς ἐς Σικυῶνα συνεδίωξε. κατὰ δὲ τὸν διωγμὸν ἡ πρεσβυτάτη τῶν θυγατέρων Ἰφινόη μετήλλαξεν· ταῖς δὲ λοιπαῖς τυχούσαις καθαρμῶν σωφρονῆσαι συνέβη. καὶ ταύτας μὲν ἐξέδοτο Προῖτος Μελάμποδι καὶ Βίαντι, παῖδα δὲ ὕστερον ἐγέννησε Μεγαπένθην.

1 codd: Ἰφίνόη.

27.

Biblioth. 3, 5, 1 (Bekker): Λυκοῦργος δὲ παῖς Δρύαντος, Ἠδωνῶν βασιλεύων, οἳ Στρυμόνα ποταμὸν παροικοῦσι, πρῶτος ὑβρίσας ἐξέβαλεν αὐτόν. καὶ Διόνυσος μὲν εἰς θάλασσαν πρὸς Θέτιν τὴν Νηρέως κατέφυγε, Βάκχαι δὲ ἐγένοντο αἰχμάλωτοι, καὶ τὸ συνεπόμενον Σατύρων πλῆθος. αὖθις δὲ αἱ Βάκχαι ἐλύθησαν ἐξαίφνης, Λυκούργῳ δὲ μανίαν ἐνεποίησε Διόνυσος. ὃ δὲ μεμηνὼς Δρύαντα τὸν παῖδα, ἀμπέλου νομίζων κλῆμα κόπτειν, πελέκει πλήξας ἀπέκτεινε, καὶ ἀκρωτηριάσας αὐτὸν ἐσωφρόνησε. τῆς δὲ γῆς ἀκάρπου μενούσης, ἔχρησεν ὁ θεὸς καρποφορήσειν αὐτήν, ἂν θανατωθῇ Λυκοῦργος. Ἠδωνοὶ δὲ ἀκούσαντες εἰς τὸ Παγγαῖον αὐτὸν ἀπαγαγόντες ὄρος ἔδησαν, κἀκεῖ κατὰ Διονύσου βούλησιν ὑπὸ ἵππων διαφθαρεὶς ἀπέθανε.

28.

Biblioth. 3, 5, 2 (Bekker): διελθὼν δὲ Θρᾴκην, καὶ τὴν Ἰνδικὴν ἅπασαν, στήλας ἐκεῖ στήσας, ἧκεν εἰς Θήβας, καὶ τὰς γυναῖκας ἠνάγκασε καταλιπούσας τὰς οἰκίας βακχεύειν ἐν τῷ Κιθαιρῶνι. Πενθεὺς δὲ γεννηθεὶς ἐξ Ἀγαυῆς Ἐχίονι, παρὰ Κάδμου εἰληφὼς τὴν βασιλείαν, διεκώλυε ταῦτα γίνεσθαι, καὶ παραγενόμενος εἰς Κιθαιρῶνα τῶν Βακχῶν κατάσκοπος ὑπὸ τῆς μητρὸς Ἀγαυῆς κατὰ μανίαν ἐμελείσθη. ἐνόμισε γὰρ αὐτὸν θηρίον εἶναι. δείξας δὲ Θηβαίοις ὅτι θεός ἐστιν, ἧκεν εἰς Ἄργος, κἀκεῖ πάλιν οὐ τιμώντων αὐτὸν ἐξέμηνε τὰς γυναῖκας. αἳ δὲ ἐν τοῖς ὄρεσι τοὺς ἐπιμαστιδίους ἔχουσαι παῖδας τὰς σάρκας αὐτῶν ἐσιτοῦντο.

29.

Plutarchus

(* Chaeroneae in Boeotia c. 50 a. Chr. — † 125 p. Chr.)

Quaest. graec. 38 (Bernardakis): « τίνες οἱ παρὰ Βοιωτοῖς Ψολόεις καὶ τίνες αἱ Ὀλεῖαι ; » τὰς Μινύου θυγατέρας φασὶ Λευκίππην καὶ Ἀρσινόην καὶ Ἀλκαθόην μανείσας ἀνθρωπίνων ἐπιθυμῆσαι κρεῶν καὶ διαλαχεῖν περὶ τῶν τέκνων· Λευκίππης λαχούσης, παρασχεῖν Ἵππασον τὸν υἱὸν διασπάσασθαι· κληθῆναι καὶ τοὺς μὲν ἄνδρας αὐτῶν δυσειματοῦντας ὑπὸ λύπης καὶ πένθους Ψολόεις αὐτὰς δὲ Ὀλείας οἷον ὀλοάς. καὶ μέχρι νῦν Ὀρχομένιοι τὰς ἀπὸ τοῦ γένους οὕτω καλοῦσι. καὶ γίγνεται παρ' ἐνιαυτὸν ἐν τοῖς Ἀγριωνίοις φυγὴ καὶ δίωξις αὐτῶν ὑπὸ τοῦ ἱερέως τοῦ Διονύσου ξίφος ἔχοντος. ἔξεστι δὲ τὴν καταληφθεῖσαν ἀνελεῖν, καὶ ἀνεῖλεν ἐφ' ἡμῶν Ζωίλος ὁ ἱερεύς. ἀπέβη δ' εἰς οὐδὲν χρηστὸν αὐτοῖς, ἀλλ' ὅ τε Ζωίλος ἐκ τοῦ τυχόντος ἑλκειδίου νοσήσας καὶ διασαπεὶς πολὺν χρόνον ἐτελεύτησεν, οἵ τε Ὀρχομένιοι δημοσίαις βλάβαις καὶ καταδίκαις περιπεσόντες, ἐκ τοῦ γένους τὴν ἱερωσύνην μετέστησαν, ἐκ πάντων αἱρούμενοι τὸν ἄριστον.

30.

Pausanias

(Exeunte saeculo II p. Chr. vixit)

Gr. descr. 2. 23, 7-8 (Spiro): τοῦτό τε οὖν τὸ οἰκοδόμημά ἐστι καὶ Κροτώπου μνῆμα καὶ Διονύσου ναὸς Κρησίου. Περσεῖ γὰρ πολεμήσαντα αὐτὸν καὶ αὖθις ἐλθόντα ἐς λύσιν τοῦ ἔχθους τά τε ἄλλα τιμηθῆναι

μεγάλως λέγουσιν ὑπὸ Ἀργείων καὶ τέμενός οἱ δοθῆναι τοῦτο ἐξαίρετον· Κρησίου δὲ ὕστερον ὠνομάσθη, διότι Ἀριάδνην ἀποθανοῦσαν ἔθαψεν ἐνταῦθα.

VII.

DE BACCHANALIUM INTERDICTIONE ROMANA

31.

Senatus consultum de Bacanalibus

(an. 186 a. Chr.)

CIL. I, 196: (Q) Marcius. L. f. S(p). Postumius L. f. cos. senatum consoluerunt n. Octob. apud aedem | Duelonai. Sc(ribendo arf(uerunt M. Claud(ius) M. f., L. Valeri(us) P. f. Q. Minuci(us) C. f.

De Bacanalibus quei foideratei | esent ita exdeicendum censuere.

Neiquis eorum Bacanal habuise velet sei ques | esent, quei sibei deicerent necesus ese Bacanal habere, eeis utei ad pr(aetorem) urbanum Romam | venirent, deque eeis rebus, ubei eorum verba audita esent, utei senatus | noster decerneret, dum ne minus senatorbus C adesent [quom e]a res cosoletur | Bacas vir nequis adiese velet ceivis Romanus neve nominus Latini neve socium | quisquam, nisei pr. urbanum adiesent isque [d]e senatuos sententiad, dum ne | minus senatoribus C adesent quom ea res cosoleretur, iousiset. Ce[n]suere.

Sacerdos nequis vir eset. Magister neque vir

6. Duelonai: Bellonae. 6. arfuerunt: *adfuerunt*. 11. necesus ese: *necesse esset*. 15. senatorbus: *senatoribus*. 17. nominus Latini: *nominis Latini*. 18. adiesent: *adessent*. 20. Censuere: nota adprobationis a patribus ad singula decreti articula concessae.

neque mulier quisquam eset. | Neve pecuniam quisquam eorum comoine[m h]abuise ve[l]et neve magistratum, | neve pro magistratud, neque virum [neque mul]ierem quiquam fecise velet. | Neve post hac inter sed conioura[se nev]e comvovise neve conspondise | neve conpromesise velet neve quisquam fidem inter sed dedise velet. | Sacra in oquoltod ne quisquam fecise velet, neve in poplicod neve in | preivatod neve extrad urbem sacra quisquam fecise velet, nisei | pr. urbanum adieset, isque de senatuos sententiad, dum ne minus | senatoribus C adesent, quom ea res consoleretur, iousiset. Censuere.

Homines plous V oinvorsei virei atque mulieres sacra ne quisquam | fecise velet, neve inter ibei virei plous duobus mulieribus plous tribus | arfuise velent, nisei de pr. urbani senatuosque sententiad, utei suprad | scriptum est. —

Haice utei in coventionid exdeicatis ne minus trinum | noundinum; senatuosque sententiam utei scientes esetis, eorum | sententia ita fuit; sei ques esent, quei arvorsum ead fecisent, quam suprad | scriptum est, eeis rem caputalem faciundam censuere — atque utei | hoce in tabolam ahenam inceideretis, ita senatus aiquom censuit; | uteique eam figier ioubeatis ubei facilumed gnoscier potisit; atque | utei ea Bacanalia, sei qua sunt, exstrad quam sei quid ibei sacri est, | ita utei suprad scriptum est, in diebus X, quibus vobeis tabelai datai erunt, | faciatis utei dismota sient. IN AGRO TEVRANO.

7. In oquoltod: *in occulto.* 13. V oinvorsei: *quinque universi,* duo viri et tres mulieres. 18. Haice: *haecce.* In coventionid *in conventione.* 20. Sei ques: *si qui.* 24. Uteique eam figier: *ut eam figi.* 29. De agro Teurano certa memoria apud scriptores non superest. Fortasse idem est ac illa Ταυριανὴ χώρα quae a Strabone 6, 1, 3 ponitur ὑπὲρ τῶν Θουρίων, in quibus insignes reliquiae Dionysiaci cultus inventae sunt. Nostra tabula ahenea, inventa est Tirioli, qui est vicus in Brutiis, prope Catanzarum, anno 1640.

32.

Titus Livius

(* Patavii 59 a. Chr. — † 17 p. Chr.)

Hist. 39,14 (Heraeus): quaestionem deinde de Bacchanalibus sacrisque nocturnis extra ordinem consulibus mandant; indicibus Aebutio ac Faeceniae ne fraudi ea res sit curare et alios indices praemiis invitare iubent; sacerdotes eorum sacrorum, seu viri seu feminae essent, non Romae modo sed per omnia fora et conciliabula conquiri, ut in consulum potestate essent; edici praeterea in urbe Roma et per totam Italiam edicta mitti, ne quis, qui Bacchis initiatus esset, coisse aut convenisse causa sacrorum velit, neu quid talis rei divinae fecisse. ante omnia ut quaestio de iis habeatur, qui coierint coniuraverintve, quo stuprun flagitiumve inferretur. haec senatus decrevit. consules aedilibus curulibus imperarunt, ut sacerdotes eius sacri omnes conquirerent, comprehensosque libero conclavi ad quaestionem servarent; aediles plebis viderent, ne qua sacra in operto fierent. triumviris capitalibus mandatum est, ut vigilias disponerent per urbem servarentque, ne qui nocturni coetus fierent, utque ab incendiis caveretur; adiutores triumviris quinqueviri uls cis Tiberim suae quisque regionis aedificiis praeessent.

15. Ad haec officia dimissis magistratibus consules in rostra escenderunt, et contione advocata cum sollemne carmen precationis, quod praefari, priusquam populum adloquantur, magistratus solent, peregisset consul, ita coepit: «nulli umquam contioni, Quirites, tam non solum apta sed etiam necessaria haec sollemnis deorum comprecatio fuit, quae vos admoneret hos esse deos, quos colere venerari precarique maiores vestri instituissent, non illos, qui pravis et externis religionibus captas mentes velut furialibus stimulis ad omne scelus et

Χρόνον τιθέντες, ἀντὶ δὲ τοῖν δυεῖν Αἰθέρα καὶ Χάος, ἀντὶ δε τοῦ ὄντος ἁπλῶς τὸ ὠιὸν ἀπολογιζόμενοι, καὶ τριάδα ταύτην πρώτην ποιοῦντες· εἰς δε τὴν δευτέραν τελεῖν ἤτοι τὸ κυούμενον καὶ τὸ κύον ὠιὸν τὸν θεὸν ἢ τον ἀργῆτα χιτῶνα ἢ τὴν νεφέλην, ὅτι ἐκ τούτων ἐκθρώσκει ὁ Φάνης· ἄλλοτε γὰρ ἄλλα περὶ τοῦ μέσου φιλοσοφοῦσιν.... τὴν δὲ τρίτην τὸν Μῆτιν ὡς νοῦν τὸν Ἠρικεπαῖον ὡς δύναμιν τὸν Φάνητα αὐτὸν ὡς πατέρα... τοιαύτη μὲν ἡ συνήθης Ὀρφικὴ θεολογία.

36.

de princ. 124b (Diels): Φερεκύδης δὲ ὁ Σύριος Ζάντα μὲν εἶναι ἀεὶ καὶ Χρόνον καὶ Χθονίαν τὰς τρεῖς πρώτας ἀρχάς... τὸν δε Χρόνον ποιῆσαι ἐκ τοῦ γόνου ἑαυτοῦ πῦρ καὶ πνεῦμα, καὶ ὕδωρ..., ἐξ ὧν ἐν πέντε μυχοῖς διηιρημένων πολλὴν γενεὰν συστῆναι θεῶν, τὴν πεντέμυχον καλουμένην, ταὐτὸν δὲ ἴσως εἰπεῖν, πεντέκοσμον.

37.

Suidas

(* Saeculo X labente, aetate Basilii II imp. Byz., vixit)

Lex. (Diels): Ὀρφεὺς Λειβήθρων τῶν ἐν Θράικηι (πόλις δέ ἐστι ὑπὸ τῆι Πιερίαι) υἱὸς Οἰάγρου καὶ Καλλιόπης· ὁ δὲ Οἴαγρος πέμπτος ἦν ἀπὸ Ἄτλαντος, κατὰ Ἀλκυόνην μίαν τῶν θυγατέρων αὐτοῦ· γέγονε δὲ πρὸ ια γενεῶν τῶν Τρωικῶν· καί φασι μαθητὴν γενέσθαι αὐτὸν Λίνου, βιῶναι δε γενεὰς θ· οἱ δὲ ια φασίν· ἔγραψε Τριαγμούς (λέγονται δὲ εἶναι Ἴωνος τοῦ τραγικοῦ

5. ἀργῆτα] ῥαγέντα Bentley. 24. codd.: τριασμούς.

ἐν δὲ τούτοις τὰ Ἱεροστολικὰ καλούμενα, κλήσεις κοσμικαί). Νεωτευκτικά. Ἱεροὺς λόγους ἐν ῥαψωιδίαις κ̅δ̅ (λέγονται δὲ εἶναι Θεογνήτου τοῦ Θεσσαλοῦ, οἱ δὲ Κέρκωπος τοῦ Πυθαγορείου). Χρησμούς, οἳ ἀναφέρονται εἰς Ὀνομάκριτον. Τελετάς (ὁμοίως δέ φασι καὶ ταύτας Ὀνομακρίτου) ⟨Λιθικά⟩· ἐν τούτοις δ' ἔστι περὶ λίθων γλυφῆς, ἥτις Ὀγδοηκοντάλιθος ἐπιγράφεται. Σωτήρια· ταῦτα Τιμοκλέους τοῦ Συρακουσίου λέγεται ἢ Περσίνου τοῦ Μιλησίου. Κρατῆρας· ταῦτα Ζωπύρου φασί. Θρονισμοὺς μητρώιους καὶ Βακχικά· ταῦτα Νικίου τοῦ Ἐλεάτου φασὶν εἶναι. Εἰς Ἅιδου κατάβασιν· ταῦτα Ἡροδίκου τοῦ Περινθίου. Πέπλον καὶ Δίκτυον· καὶ ταῦτα Ζωπύρου τοῦ Ἡρακλεώτου, οἱ δὲ Βροτίνου. Ὀνομαστικόν, ἔπη α̅σ̅. Θεογονίαν, ἔπη α̅σ̅. Ἀστρονομίαν, Ἀμμοσκοπίαν (?), Θυηπολικόν, Ὠιοθυτικὰ ἢ Ὠιοσκοπικά, ἐπικῶς. Καταζωστικόν, Ὕμνους, Κορυβαντικόν, καὶ Φυσικά, ἃ Βροτίνου φασίν.

IX.

DE ZAGREI LACERATIONE ET TITANUM FULMINATIONE

38.

Pausanias

(Exeunte saec. II p. Chr. vixit)

Gr. descr. 8, 37, 5 (Spiro): παρὰ δὲ Ὁμήρου Ὀνομάκριτος παραλαβὼν τῶν Τιτάνων τὸ ὄνομα

1. κτίσεις κόσμου Eschenbach. 6. ⟨ ⟩ inclusit Bernardy.
16. codd.: ἀμοκοπίαν; ἀμνοσκοπίαν, ἀστροσκοπίαν, Lobeck; ἀνεμοσκοπίαν Fabricius.

Διονύσῳ τε συνέθηκεν ὄργια καὶ εἶναι τοὺς Τιτᾶνας τῷ Διονύσῳ τῶν παθημάτων ἐποίησεν αὐτουργούς.

39.

Clemens Alexandrinus

(* Athenis (?) c. 150 — † 215 p. Chr.)

Protr. 2, 17, 2 (Stählin): κῶνος καὶ ῥόμβος καὶ παίγνια καμπεσίγυια μῆλά τε χρύσεα καλὰ παρ' Ἑσπερίδων λιγυφώνων.

40.

Origenes

(* 185 Alexandriae — † Tyri 254 p. Chr.)

Contra Celsum, 6, 42 (Koetschau): Φερεκύδην δὲ πολλῷ ἀρχαιότερον γενόμενον Ἡρακλείτου μυθοποιίαν, στρατείαν στρατείᾳ παραταττομένην, καὶ τῆς μὲν ἡγεμόνα Κρόνον διδόναι τῆς ἑτέρας δὲ Ὀφιονέα. προκλήσεις τε καὶ ἁμίλλας αὐτῶν ἱστορεῖν, συνθήκας τε αὐτοῖς γίνεσθαι, ἵν' ὁπότεροι αὐτῶν εἰς τὸν Ὠγηνὸν ἐμπέσωσι, τούτους μὲν εἶναι νενικημένους, τοὺς δ' ἐξώσαντας καὶ νικήσαντας. τούτους ἔχειν τὸν οὐρανόν. τούτου δὲ τοῦ βουλήματός φησιν ἔχεσθαι καὶ τὰ περὶ τοὺς Τιτᾶνας καὶ Γίγαντας μυστήρια, θεομαχεῖν ἀπαγγελλομένους, καὶ τὰ παρ' Αἰγυπτίοις περὶ Τυφῶνος καὶ Ὥρου καὶ Ὀσίριδος.

41.

Arnobius

(* Siccae in Africa, aetate Diocletiani imp. vixit)

adv. nat. 5. 19 (Reifferscheid): sed et illa desistimus Bacchanalia altera praedicare, in quibus arcana

3. Cfr. Fragm. 196 (Abel). Crepundiorum nomina in fragm. enumerata fere ad litteram latine reddita sunt ab Arnobio 5, 19 quem vides num. 41, p. 29 ll. 9-11.

et tacenda res proditur insinuaturque sacratis, ut occupatus puerilibus ludicris distractusque a Titanis Liber sit, ut ab isdem membratim sectus atque in ollulas coniectus ut coqueretur, quemadmodum Iuppiter suavitate odoris inlectus invocatus advolarit ad prandium conpertaque re gravi grassatores obruerit fulmine atque in imas Tartari praecipitaverit sedes. cuius rei testimonium argumentumque fortunae suis prodidit in carminibus Thracius talos speculum turbines volubiles rotulas et teretis pilas et virginibus aurea sumpta ab Hesperidibus mala.

42.

Nonnus

(* Panopoli in Aegypto, ineunte saec. V p. Chr. vixit)

Dionys. 6. 165-173 (Ludwich):

αἰθερίων δὲ δρακοντείων ὑμεναίων
Περσεφόνης γονόεντι τόκῳ κυμαίνετο γαστήρ
Ζαγρέα γειναμένη, κερόεν βρέφος, ὃς Διὸς ἕδρης
μοῦνος ἐπουρανίης ἐπεβήσατο, χειρὶ δὲ βαιῇ
ἀστεροπὴν ἐλέλιζε· νεηγενέος δέ φορῆος
νηπιάχοις παλάμῃσιν ἐλαφρίζοντο κεραυνοί.
οὐδὲ Διὸς θρόνον εἶχεν ἐπὶ χρόνον· ἀλλὰ ἑ γύψῳ
κερδαλέῃ χρισθέντες ἐπίκλοπα κύκλα προσώπου
δαίμονος ἀστόργοιο χόλῳ βαρυμήνιος Ἥρης
Ταρταρίῃ Τιτῆνες ἐδηλήσαντο μαχαίρῃ
ἀντιτύπῳ νόθον εἶδος ὀπιπεύοντα κατόπτρῳ.

197-210 ἄλλοτε ταύρῳ
ἰσοφυής, στομάτων δὲ νόθον μυκηθμὸν ἰάλλων
θηγαλέῃ Τιτῆνας ἀνεστυφέλιξε κεραίῃ.
καὶ ψυχῆς προμάχιζεν, ἕως ζηλήμονι λαιμῷ
τρηχαλέον μύχημα δι' ἠέρος ἔβρεμεν Ἥρη,

μητρυιὴ βαρύμηνις, ἰσοφθόγγῳ δὲ θεαίνῃ
αἰθέριον κελάδημα πύλαι κανάχιζον Ὀλύμπου,
καὶ θρασὺς ὤκλασε ταῦρος· ἀμοιβαίῃ δὲ φονῆες
ταυροφυῆ Διόνυσον ἐμιστύλλοντο μαχαίρῃ.
Ζεὺς δὲ πατήρ, προτέροιο δαιζομένου Διονύσου
γινώσκων σκιόεντα τύπον δολίοιο κατόπτρου,
μητέρα Τιτήνων ἐλάσας ποινήτορι πυρσῷ
Ζαγρέος εὐκεράοιο κατεκλήισσε φονῆας
Ταρταρίῳ πυλεῶνι.

43.

Macrobius

(Ineunte saec. V, aetate Theodosii II imp. vixit)

in somn. Scip. 1, 12, 12 (Eyssenhardt): ipsum autem Liberum patrem Orphaici νοῦν ὑλικόν suspicantur intelligi qui ab illo individuo natus in singulos ipse dividitur. ideo in illorum sacris traditur Titanio furore in membra discerptus et frustis sepultis rursus unus et integer emersisse quia νοῦς, quem diximus mentem vocari, ex individuo praebendo se dividendum et rursus ex diviso ad individuum revertendo et mundi inplet officia et naturae suae arcana non deserit.

44.

Proclus

(* Constantinopoli 410 — † 485 p. Chr.)

ad remp. f. 55 v. (Kroll): πάντως γάρ που τὸν πρὸς τὸν Δία πόλεμον ἐν τούτοις αἰνίσσεται τὸν Τιτανικὸν καὶ τὰς καλουμένας καταταρταρώσεις παρὰ τοῖς Ὀρφικοῖς.

45.

Olympiodorus

(Saeculo VI p. Chr. Alexandriae vixit)

ad Phaed. p. 68 Bή (Norvin): πῶς ἐκ Τιτανικῶν θρυμμάτων οἱ ἄνθρωποι γίνονται; ἢ ἐκ μὲν τῶν θρυμμάτων, ὡς ἀπεστενωμένοι τὴν ζωὴν εἰς ἔσχατον μερισμόν· ἐκ δὲ τῶν Τιτανικῶν, ὡς ἐσχάτων δημιουργῶν καὶ τοῖς δημιουργήμασι προσεχεστάτων. ὁ μὲν γὰρ Ζεὺς πατὴρ ἀνδρῶν καὶ θεῶν, οἱ δὲ ἀνθρώπων μόνων, ἀλλ' οὐχὶ καὶ θεῶν, καὶ οὐκέτι πατέρες, ἀλλὰ αὐτοὶ, οὐδὲ αὐτοὶ ἁπλῶς, ἀλλὰ τεθνεῶτες, καὶ οὐδὲ τοῦτο μόνον, ἀλλὰ καὶ συντεθρυμμένοι· ὁ γὰρ τοιοῦτος τρόπος τῆς ὑποστάσεως εἰς τοὺς αἰτίους ἀναπέμπεται.

X.

DE ORPHICORUM PSYCHOLOGIA

46.

Plato

(* Athenis 428 — † 347 a. Chr.)

Cratyl. 400 BC (Hermann-Wohlrab): καὶ γὰρ σῆμά τινές φασιν αὐτὸ (τὸ σῶμα), εἶναι τῆς ψυχῆς ὡς τεθαμμένης ἐν τῷ νῦν παρόντι· καὶ διότι αὖ τούτῳ σημαίνει ἃ ἂν σημαίνῃ ἡ ψυχή, καὶ ταύτῃ σῆμα ὀρθῶς καλεῖσθαι· δοκοῦσιν μέντοι μοι μάλιστα

Cfr. eumdem Olymp. ibid. A. I. 13.

θέσθαι οἱ ἀμφὶ Ὀρφέα τοῦτο τὸ ὄνομα, ὡς δίκην διδούσης τῆς ψυχῆς, ὧν δὴ ἕνεκα δίδωσι. τοῦτον δὲ περίβολον ἔχειν, ἵνα σῴζηται, δεσμωτηρίου εἰκόνα.

47.

Phaedr. 246 BD (Hermann): πᾶσα ἡ ψυχὴ παντὸς ἐπιμελεῖται τοῦ ἀψύχου, πάντα δὲ οὐρανὸν περιπολεῖ, ἄλλοτ' ἐν ἄλλοις εἴδεσι γιγνομένη· τελέα μὲν οὖν οὖσα καὶ ἐπτερωμένη μετεωροπορεῖ τε καὶ πάντα τὸν κόσμον διοικεῖ· ἡ δὲ πτερορρυήσασα φέρεται ἕως ἂν στερεοῦ τινὸς ἀντιλάβηται, οὗ κατοικισθεῖσα, σῶμα γήϊνον λαβοῦσα, αὐτὸ αὑτὸ δοκοῦν κινεῖν διὰ τὴν ἐκείνης δύναμιν, ζῷον τὸ ξύμπαν ἐκλήθη, ψυχὴ καὶ σῶμα παγέν, θνητόν τ' ἔσχεν ἐπωνυμίαν· ἀθάνατον δὲ οὐδ' ἐξ ἑνὸς λόγου λελογισμένου, ἀλλὰ πλάττομεν οὔτε ἰδόντες οὔτε ἱκανῶς νοήσαντες θεόν, ἀθάνατόν τι ζῷον, ἔχον μὲν ψυχήν, ἔχον δὲ σῶμα, τὸν ἀεὶ δὲ χρόνον ταῦτα ξυμπεφυκότα.

48.

Phaed. 113 D (Hermann-Wohlrab): τούτων δὲ οὕτως πεφυκότων, ἐπειδὰν ἀφίκωνται οἱ τετελευτηκότες εἰς τὸν τόπον οἷ ὁ δαίμων ἕκαστον κομίζει, πρῶτον μὲν διεδικάσαντο οἵ τε καλῶς καὶ ὁσίως βιώσαντες καὶ οἱ μή. καὶ οἳ μὲν ἂν δόξωσι μέσως βεβιωκέναι, πορευθέντες ἐπὶ τὸν Ἀχέροντα, ἀναβάντες ἃ δὴ αὐτοῖς ὀχήματά ἐστιν, ἐπὶ τούτων ἀφικνοῦνται εἰς τὴν λίμνην καὶ ἐκεῖ οἰκοῦσί τε καὶ καθαιρόμενοι τῶν τε ἀδικημάτων διδόντες δίκας ἀπολύονται, εἴ τίς τι ἠδίκηκεν, τῶν τε εὐεργεσιῶν τιμὰς φέρονται

κατὰ τὴν ἀξίαν ἕκαστος. 114 c. τούτων δε αὐτῶν οἱ φιλοσοφίᾳ ἱκανῶς καθηράμενοι ἄνευτε σωμάτων ζῶσι τὸ παράπαν εἰς τὸν ἔπειτα χρόνον, καὶ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται, ἅς οὔτε ῥᾴδιον δηλῶσαι οὔτε ὁ χρόνος ἱκανὸς ἐν τῷ παρόντι.

49.

Proclus

(* Constantinopoli 410 — † 485 p. Chr.)

in Tim. 5, 330 A (Diehl): μία σωτηρία τῆς ψυχῆς αὕτη παρὰ τοῦ δημιουργοῦ προτείνεται τοῦ κύκλου τῆς γενέσεως ἀπαλλάττουσα καὶ τῆς πολλῆς πλάνης καὶ τῆς ἀνηνύτου ζωῆς, ἡ πρὸς τὸ νοερὸν εἶδος τῆς ψυχῆς ἀναδρομὴ καὶ ἡ φυγὴ πάντων τῶν ἐκ τῆς γενέσεως ἡμῖν προσπεφυκότων.

ibid. 330 B .... τῆς περὶ τὴν γένεσιν πλάνης, ἧς καὶ οἱ παρ' Ὀρφεῖ τῷ Διονύσῳ καὶ τῇ Κόρῃ τελούμενοι τυχεῖν εὔχονται,

κύκλου τ' ἂν λῆξαι καὶ ἀναπνεύσαι κακότητος.

50.

Simplicius

(* in Cilicia, saec. VI medio p. Chr., Athenis vixit)

de coel. 2, p. 91b (Lobeck, Agl. II, 798): προσδέδεται δὲ ὑπὸ τοῦ θεοῦ τῷ τῆς μοῖρας τροχῷ καὶ τῆς γενέσεως, ὃν ἀδύνατον μεταλλάξαι κα' Ὀρφέα....

50. Hic Simplicius ad allegoriam revocat fabulam de rota Ixionis. 18. Verba quae sequuntur orphica valde mendosa conatur Lobeck restituere, quem vide.

51.

Olympiodorus

(Saeculo VI p. Chr. Alexandriae vixit)

in Phaed. B σα (Norvin): ὅτι παλαιὸς ὁ λόγος, Ὀρφικός τε καὶ Πυθαγόρειος, ὁ πάλιν ἄγων τὰς ψυχὰς εἰς τὸ σῶμα καὶ πάλιν ἀπὸ τοῦ σώματος ἀνάγων καὶ τοῦτο κύκλῳ πολλάκις.

XI.

DE ORPHICORUM ETHICA ET ESCHATOLOGIA

52.

Pindarus

(* Cynocephalis in Boeotia 521 — † 441 a. Chr.)

Olymp. 2, 62 (Schroeder):

ἀστὴρ ἀρίζηλος, ἐτυμώτατον
ἀνδρὶ φέγγος· εἰ δέ νιν ἔχων τις οἶ-
δεν τὸ μέλλον,
ὅτι θανόντων μὲν ἐν-
θάδ' αὐτίκ' ἀπάλαμνοι φρένες
ποινὰς ἔτεισαν—τά δ' ἐν-
τᾷδε Διὸς ἀρχᾷ
ἀλιτρὰ κατὰ γᾶς δικάζει τις ἐχθρᾷ
λόγον φράσαις ἀνάγκᾳ.
Ἴσαις δὲ νύκτεσσιν αἰεί,
ἴσαις δ' ἐν ἁμέραις
ἅλιον ἔχοντες, ἀπονέστερον
ἐσλοὶ δέκονται βίοτον, οὐ χθόνα τα-
ράσσοντες ἐν χερὸς ἀκμᾷ
οὐδὲ πόντιον ὕδωρ
κενεὰν παρὰ δίαιταν, ἀλ-
λὰ παρὰ μὲν τιμίοις

θεῶν οἵτινες ἔ-
χαιρον εὐορκίαις
ἄδακρυν νέμονται
αἰῶνα, τοὶ δ' ἀπροσόρα-
τον ὀκχέοντι πόνον.
ὅσοι δ' ἐτόλμασαν ἐστρὶς
ἑκατέρωθι μεί-
ναντες ἀπὸ πάμπαν ἀδίκων ἔχειν
ψυχάν, ἔτειλαν Διὸς ὁδὸν παρὰ Κρό-
νου τύρσιν· ἔνθα μακάρων
νᾶσον ὠκεανίδες
αὖραι περιπνέοισιν· ἄν-
θεμα δὲ χρυσοῦ φλέγει,
τὰ μὲν χερσόθεν ἀπ'
ἀγλαῶν δενδρέων,
ὕδωρ δ' ἄλλα φέρβει
ὅρμοισι τῶν χέρας ἀνα-
πλέκοντι καὶ στεφάνους
βουλαῖς ἐν ὀρθαῖσι Ῥαδαμάνθους,
ὃν πατὴρ ἔχει γᾶς ἑτοῖμον αὐ-
τῷ πάρεδρον,
πόσις ὁ πάντων Ῥέας
ὑπέρτατον ἐχοίσας θρόνον.

53.

Euripides

(* Salaminae 480 — † 406 a. Chr.)

Cret. Fragm. 475 (Nauck):
ἁγνὸν δὲ βίον τείνομεν ἐξ οὗ

24. τείνομεν] τείνων malit Nauck.

Διὸς Ἰδαίου μύστης γενόμην
καὶ νυκτιπόλου Ζαγρέως βροντὰς
τὰς τ' ὠμοφάγους δαῖτας τελέσας,
Μητρὶ τ' ὀρείῳ δᾷδας ἀνασχὼν,
καὶ Κουρήτων
βάκχος ἐκλήθην ὁσιωθείς.
πάλλευκα δ'ἔχων εἵματα φεύγω
γένεσίν τε βροτῶν καὶ νεκροθήκης
οὐ χριμπτόμενος τήν τ' ἐμψύχων
βρῶσιν ἐδέστων, πεφύλαγμαι.

54.
Plato
(* Athenis 428 — † 347 a. Chr.)

Rep. 2, 364E. 365A. (Hermann): βίβλων δὲ ὅμαδον παρέχονται Μουσαίου καὶ Ὀρφέως, Σελήνης τε καὶ Μουσῶν ἐγγόνων, ὥς φασι καθ' ἃς θυηπολοῦσι πείθοντες οὐ μόνον ἰδιώτας, ἀλλὰ καὶ πόλεις, ὡς ἄρα λύσεις τε καὶ καθαρμοὶ ἀδικημάτων διὰ θυσιῶν καὶ παιδιᾶς ἡδονῶν εἰσὶ μὲν ἔτι ζῶσιν, εἰσὶ δὲ καὶ τελευτήσασιν, ἃς δὴ τελετὰς καλοῦσιν, αἳ τῶν ἐκεῖ κακῶν ἀπολύουσιν ἡμᾶς, μὴ θύσαντας δὲ δεινὰ περιμένει.

55.
Lamellae aureae
Lam. Peteliae (Comparetti)
(Saec. IV-III a. Chr.)

Εὑρήσσεις δ' Ἀίδαο δόμων ἐπ' ἀριστερὰ κρήνην·
πὰρ δ' αὐτῆι λευκὴν ἑστηκυῖαν κυπάρισσον

2. βροντὰς· cod. Lips.; βιοτὰς edd; σπονδὰς Lobeck; βούτας malim.
55. Peteliae, nunc Strongoli, anno 1834 inventa. Cfr. IG, XIV, 638 (Kaibel).

ταύτης τῆς κρήνης μηδὲ σχεδὸν ἐμπελάσειας.
Εὑρήσεις δ' ἑτέραν, τῆς Μνημοσύνης ἀπὸ λίμνης
ψυχρὸν ὕδωρ προρέον· φύλακες δ' ἐπίπροσθεν ἔασιν.
Εἰπεῖν· γῆς παῖς εἰμι καὶ οὐρανοῦ ἀστερόεντος,
αὐτὰρ ἐμοὶ γένος οὐράνιον· τόδε δ' ἴστε καὶ αὐτοί.
δίψηι δ' εἰμὶ αὔη καὶ ἀπόλλυμαι· ἀλλὰ δότ' αἶψα
ψυχρὸν ὕδωρ προρέον τῆς Μνημοσύνης ἀπὸ λίμνης.
Καὐ[τοί σο]ι δώσουσι πιεῖν θείης ἀπ[ὸ κρήν]ης,
καὶ τότ' ἔπειτ ἄ[λλοισι μεθ'] ἡρώεσσιν ἀνάξει[ς.

56.

Lam. Thurior. I (Comparetti)

(Saec. IV-III a. Chr.)

Ἔρχομαι ἐκ κοθαρὸ κοθαρὰ χθονί<ων> βασίλεια
Εὐκλῆς Εὐβο<υ>λεύς τε καὶ ἀθάνατοι θεοὶ ἄλλοι.
καὶ γὰρ ἐγὼν ὑμῶν γένος ὄλβιον εὔχομαι εἶμεν,
ἀλ<λ>ά με μο<ῖ>ρα ἐδάμασ<σ>ε * καὶ ἀθάνατοι θεοὶ ἄλλοι * καὶ ἀστεροβλῆτα κεραυνόν.
κύκλο<υ> δ' ἐξέπταν βαρυπενθέος ἀργαλέοιο,
ἱμερτο<ῦ> δ' ἐπέβαν στεφάνο<υ> ποσὶ καρπαλίμοισι
Δεσποίνας δὲ ὑπὸ κόλπον ἔδυν χθονίας βασιλείας
ἱμερτο<ῦ> δ' ἐπέβαν στε(φ)άνου ποσὶ καρπα(λ)ίμοισι
ὄλβιε καὶ μακαριστέ, θεὸς δ' ἔσηι ἀντὶ βροτοῖο.
ἔριφος ἐς γάλ' ἔπετον.

9. Versus tres finales 12-14 admodum mutilos omisi. *56.* Una ex tribus lamellis Thuriis, nunc Terranova di Sibari, anno 1879 in tympone, seu tumulo, parvo inventis. Gfr. IG. XIV, 641, Verba < > inclusa omissa, quae vero ( ) includuntur male scripta in lamella fuerunt. 10. χθ. βασίλεια: Persephone in versu 17 Δέσποινα seu Domina appellata 11. Εὐκλῆς sive Pluto. 11. Εὐβουλεύς aliud epitheton Plutonis quod Orphici suo Dionyso-Zagreo contulerunt 18. et 20. Verba ** inclusa ut repetita sunt expungenda.

57.

Lam. Thurior. II et III (Comparetti)

(Saec. IV-III a. Chr.)

Ἔρχομαι ἐκ καθαρῶν καθαρά, χθονίων βασίλεια
Εὔκλε καὶ Εὐβουλεῦ καὶ θεοὶ ὅσοι δαίμονες ἄλλοι
καὶ γὰρ ἐγὼν ὑμῶν γένος εὔχομαι εἶναι ὄλβιον·
ποινὰν δ' ἀνταπέτεισ' ἔργων ἕνεκα οὔτι δικαίων
εἶτ' ἐμὲ Μοῖρα ἐδάμασσ' αὖον στεροπή τε κεραυνοῦ.
Νῦν δ' ἱκέτης ἁγνὴν ἥκω παρα Φερσεφόνειαν
ὥς μέ πρόφρων πέμψῃ ἕδρας ἐς εὐαγέων.

58.

Lam. Thurior. IV (Comparetti)

(Saec. IV-III a. Chr.)

Ἀλλ' ὁπόταμ ψυχὴ προλίπηι φάος ἀελίοιο
δεξιὸν ἐν<ν>οίας δεῖ τινα πεφυλαγμένον εὖ μάλα πάντα.
χαῖρε, παθὼν τὸ πάθημα τόδ' οὔπω πρόσθε ἐπεπόνθεις,
εὸς ἐγένου ἐξ ἀνθρώπου, ἔριφος ἐς γάλα ἔπετες,
χαιρ<ε> χαῖρε δεξιὰν ὁδοιπορ<ῶν>
λειμῶνάς τε ἱεροὺς κατ' ἄλσεα Φε(ρ)σε(φο)νείας.

57. Cfr. IG, XIV, 641. Secunda et tertia lam. Thuriis inventae inter se differunt tantummodo in secundo et tertio versu ut hic notatur. 2. var. III: καὶ θεοὶ δαίμονες ἄλλοι. 3. var. III: εὔχομαι ὄλβιον εἶναι.
58. Cfr. IG, XIV, 642. Thuriis in tympone magno inventa an. 1879, cum alia (V) prorsus inintelligibili et propterea hic omissa. 9. δεξιὸν ἔνθ' ἅς δεῖ [τινα] Diels. 9. τινα: ad Plutonem iudicem Inferorum refertur. 10. Punctum post πάθημα a Kaibel primum, postea a Dieterich, Diels aliisque collocatum est auferendum, secus sensus sententiae orphicus de cyclo generationis tandem interrupto, destruitur.

59.
Lam. Cretae (Comparetti)
(Saec. II a. Chr.)

Δίψαι αὖος ἐγὼ καὶ ἀπόλλυμαι· ἀλλὰ πιέμ μοι
κράνας αἰερόω ἐπὶ δεξιὰ, τῆι κυφάρισσος.
Τίς δ' εσὶ; πῶ δ' ἐσὶ; γᾶς υἱός ἠμι καὶ ὠρανῶ
ἀστερόεντος.

60.
Lam. Romae (Comparetti)
(Saec. II p. Chr.)

Ἔρχεται ἐκ καθαρῶν καθαρὰ,
χθονίων βασίλεια, Εὔκλεες Εὐβου-
λεῦ τε, Διὸς τέκος ἀγλαά. Ἔχω δὲ Μνημο-
σύνης τόδε δῶρον ἀοίδιμον ἀνθρώ-
ποισιν Καικιλία Σεκουνδείνα νόμω
αἰεὶ διαγεγῶσα.

61.
Olympiodorus
(Saeculo VI p. Chr. Alexandriae vixit)

in Phaed. B ιά (Norvin): ὅτι ὁ Διόνυσος λύσεώς ἐστι αἴτιος· διὸ καὶ Λυσεὺς ὁ θεός, καὶ ὁ Ὀρφεύς φησιν·
ἄνθρωποι δὲ τεληέσσας ἑκατόμβας
πέμψουσιν πάσῃσιν ἐν ὥραις ἀμφιέτῃσιν
ὄργια τ' ἐκτελέσουσιν λύσιν προγόνων ἀθεμίστων
μαιόμενοι· σὺ δὲ τοῖσιν ἔχων κράτος, οὕς κ' ἐθέλησθα
λύσεις ἔκ τε πόνων χαλεπῶν καὶ ἀπείρονος οἴστρου.,

59. Lamellae tres, sententiis congruentes, in Creta insula prope Eleuthernas inventae anno 1893. Var. unius ex tribus lam: 1. αὖος ἅλ[ι]ςς ἐγὼ. 2. κράνας αἰενάω. *60.* Romae, fortasse via Ostiensi inventa, anno c. 1899. 10. ἴθι δῖα γεγῶσα Diels, qui vult sententiam hanc a Persephone ad Caeciliam dirigi. 13. Versus hi respondent fr. 208 (Abel).

II

DE MYSTERIIS ELEUSINIIS

I.
DE LUDIS ELEUSINIIS

62.
Aristoteles
(* 384 Stagirae — † 322 a. Chr.)

Fr. 282 (C. Müller): ἡ τάξις τῶν ἀγώνων κατὰ Ἀριστοτέλην γράφεται. πρῶτα μὲν τὰ Ἐλευσίνια διὰ τὸν καρπὸν τῆς Δήμητρος.

63.
Titulus
(Saec. IV. a. Chr.)

IG (Att.) II, V, l. 46-49 p. 203: ...ε(ἰς) τὴν τρι(ε)τηρίδα τῶν Ἐλευσινίων εἰς τὸν γυμνικὸν ἀγῶνα κα[ὶ τῆς ἱπποδρομίας] καὶ τοῦ πατρίου αγῶνος καὶ τῆς μουσικῆς μέδιμνοι ΓΔΔ· εἰς τὴν πεντετηρίδα τ[ῶν Ἐλ]ε[υσινίων εἰς] τὸν γυμνικὸν ἀγῶνα καὶ τῆς μουσικῆς καὶ τῆς ἱπποδρομία(ς) καὶ τοῦ πατρίου (ἀγῶνος) μέ[διμνοι ΗΗ...] εἰς τὴν ἱπποδρομίαν τὴς προστεθεῖσαν κατὰ ψήφισμα ἆθλα μέδιμνοι ΓΔΔ...

64.
Titulus
(Paulo post 217 a. Chr.)

IG (Att.) II, V, l. 25-29 p. 163: γινομένης δὲ καὶ τῆς πανη[γύρε]ως τῶν Ἐλευσ[ι]νίω[ν] τῶν μεγάλων ἐν τοῖς ἔτε|σιν οἷς ἐστρατήγηκεν, ἔθυσεν ταῖς

7. μέδιμνος atticus continet litr. 52, 53. *64.* Titulus de legatione Demaeneti, in quo Eleusinia et Mysteria inter se distinguuntur.

θεαῖς μετὰ τῶν ἐξ Ἐ|λευσῖνος περὶ τ[ῆ]ς τοῦ δήμου σωτηρίας· ἐπεμελήθη δὲ καὶ| τῆς τῶν μυστηρίων [τελ]ετῆς καθ' ἑκάστην στρατηγίαν, ὅπως| μετὰ πάσης ἀσφαλε[ίας] συντελεσθεῖ.

65.

Pausanias

(Exeunte saec. II p. Chr. vixit)

Gr. descr. 1, 38, 6 (Spiro): τὸ δὲ πεδίον τὸ Ῥάριον σπαρῆναι πρῶτον λέγουσιν καὶ πρῶτον αὐξῆσαι καρπούς, καὶ διὰ τοῦτο οὐλαῖς ἐξ αὐτοῦ χρῆσθαί σφισι καὶ ποιεῖσθαι πέμματα ἐς τὰς θυσίας καθέστηκεν.

66.

Scholia in Pindarum

(Exeunte hellenistica aetate scripta sunt)

in Ol. 9, 150b (Drachmann): ἄγεται δὲ αὐτόθι ἀγὼν Κόρης καὶ Δήμητρος, ὃς καλεῖται Ἐλευσίνια· οὗ ἔπαθλον κριθαί.

II.

DE DIEBUS DEMETRAE SOLLEMNIBUS

67.

Herodotus

(* Halicarnassi c. 480 — † c. 426 a. Chr.)

Hist. 2, 171 (Dietsch-Kallenberg): καὶ τῆς Δήμητρος τελετῆς πέρι, τὴν οἱ Ἕλληνες θεσμοφόρια καλέουσι, καὶ ταύτης μοι πέρι εὔστομα κείσθω, πλὴν

ὅσον αὐτῆς ὁσίη ἐστὶ λέγειν. αἱ Δαναοῦ θυγατέρες ἦσαν αἱ τὴν τελετὴν ταύτην ἐξ Αἰγύπτου ἐξαγαγοῦσαι καὶ διδάξασαι τὰς Πελασγιώτιδας γυναῖκας.

68.

Titulus

(Saec. II a. Chr.)

IG. (Att.) II, V, 1. 5-9 p. 122: ὑπὲρ ὧν ἀπαγγέλλει ὁ δήμαρχος ὁ Ἐλευσινίων ὑπὲρ τῶν θυσι|ῶν ὧν ἔθυσεν τοῖς τε Ἁλῴοις καὶ τοῖς Χλοίοις τεῖ τε Δήμητρι καὶ τεῖ | Κόρει καὶ τοῖς ἄλλοις θεοῖς, οἷς πάτριον ἦν, συνετέλεσεν δὲ καὶ τὴν τῶν | Καλαμαίων θυσίαν καὶ τὴν πομπὴν ἔστειλεν κατὰ τὰ πάτρια....

69.

Clemens Alexandrinus

(* Athenis (?) c. 150 — † c. 215 p. Chr.)

Protr. 2, 17 (Stählin): βούλει καὶ τὰ Φερεφάττης ἀνθολόγια διηγήσωμαί σοι, καὶ τὸν κάλαθον, καὶ τὴν ἁρπαγὴν τὴν ὑπὸ Αἰδωνέως καὶ τὸ χάσμα τῆς γῆς καὶ τὰς ὗς τὰς Εὐβουλέως τὰς συγκαταποθείσας ταῖν θεαῖν, δι' ἣν αἰτίαν ἐν τοῖς Θεσμοφορίοις μεγαρίζοντες χοίρους ἐμβάλλουσιν;

70.

Scholia in Lucianum

(Exeunte hellenistica aetate scripta sunt.)

in dial. mer. 2, 1 (Rabe): εἰς οὖν τιμὴν τοῦ Εὐβουλέως ῥιπτεῖσθαι τοὺς χοίρους εἰς τὰ χάσματα τῆς Δήμητρος καὶ τῆς Κόρης. τὰ δὲ σαπέντα τῶν ἐμβληθέντων εἰς τὰ μέγαρα κάτω ἀναφέ-

ρουσιν ἀντλήτριαι καλούμεναι γυναῖκες καθαρεύσασαι τριῶν ἡμερῶν καὶ καταβαίνουσιν εἰς τὰ ἄδυτα καὶ ἀνενέγκασαι ἐπιτιθέασιν ἐπὶ τῶν βωμῶν· ὧν νομίζουσιν τὸν λαμβάνοντα καὶ τῷ σπόρῳ συγκαταβάλλοντα εὐφορίαν ἕξειν. λέγουσι δὲ καὶ δράκοντας κάτω εἶναι περὶ τὰ χάσματα, οὓς τὰ πολλὰ τῶν βληθέντων κατεσθίειν· διὸ καὶ κρότον γίνεσθαι, ὁπόταν ἀντλῶσιν αἱ γυναῖκες καὶ ὅταν ἀποτιθῶνται πάλιν τὰ πλάσματα ἐκεῖνα, ἵνα ἀναχωρήσωσιν οἱ δράκοντες, οὓς νομίζουσι φρουροὺς τῶν ἀδύτων. τὰ δὲ αὐτὰ καὶ ἀρρητοφόρια καλεῖται καὶ ἄγεται τὸν αὐτὸν λόγον ἔχοντα περὶ τῆς τῶν καρπῶν γενέσεως καὶ τῆς τῶν ἀνθρώπων σπορᾶς.

III.
DE SACERDOTIO ELEUSINIO

71.
(Pseudo) Lysias

(Saec. V medio a. Chr. vixit)

contra Andoc. 10 (Thalheim): καίτοι Περικλέα ποτέ φασι παραινέσαι ὑμῖν περὶ τῶν ἀσεβούντων, μὴ μόνον χρῆσθαι τοῖς γεγραμμένοις νόμοις περὶ αὐτῶν, ἀλλὰ καὶ τοῖς ἀγράφοις, καθ' οὓς Εὐμολπίδαι ἐξηγοῦνται....

72.
Aeschines

(* Athenis 390 — † 314 a. Chr.)

in Ctes. 3, 18 (Blass): οἷον τοὺς ἱερέας καὶ τὰς ἱερείας ὑπευθύνους εἶναι κελεύει ὁ νόμος, καὶ συλ-

λήβδην ἅπαντας καὶ χωρὶς ἑκάστους κατὰ σῶμα, τοὺς τὰ γέρα μόνον λαμβάνοντας καὶ τὰς εὐχὰς ὑπὲρ ὑμῶν πρὸς τοὺς θεοὺς εὐχομένους, καὶ οὐ μόνον ἰδίᾳ, ἀλλὰ καὶ κοινῇ τὰ γένη, Εὐμολπίδας καὶ Κήρυκας καὶ τοὺς ἄλλους ἅπαντας.

73.

Aristoteles

(* Stagirae 384 — † 322 a. Chr.)

Athen. polit. 39 (Thalheim): τὸ δ' ἱερὸν εἶναι κοινὸν ἀμφοτέρων, ἐπιμελεῖσθαι δε Κήρυκας καὶ Εὐμολπίδας κατὰ τὰ πάτρια.

74.

Aristoteles

Polit. fragm. in « Bull. corr. hell. » 1877, p. 152: καὶ γένος ἕκαστον ἄνδρας εἶχε τριάκοντα τοὺς εἰς τὰ γένη τεταγμένους, οἵτινες γεννῆται ἐκαλοῦντο, ὧν αἱ ἱερωσύναι ἑκάστοις προσήκουσαι ἐκληροῦντο οἷον Εὐμολπίδαι καὶ Κήρυκεν καὶ Ἐτεοβουτάδαι...

75.

Titulus

(An. 252 a. Chr.)

IG (Att.) IV, p. 31, ll. 15-23: ἐπι]μελεῖσθαι δὲ τῆς ἱερᾶς ὀργάδος καὶ τῶν ἄλλω|[ν ἱερῶν τεμεν]ῶν τῶν

74. Sententia ex sectione amissa Πολιτείας Aristotelis desumpta.
75. Decretum de administrandis praediis Eleusiniis sub Areopagi praesidio.

Ἀθήνησιν ἀπὸ τῆσδε τῆς ἡμέρας εἰς τὸν|[ἀεὶ χρόνον οὕ]ς τε ὁ νόμος κελεύει περὶ ἑκάστου αὐτῶν καὶ τ|[ὴν βουλὴν τὴν] ἐξ Ἀρείου πάγου καὶ τὸν στρατηγὸν τὸν ἐπὶ τὴ|[ν φυλ]ακὴ[ν τῆς χ]ώρας κεχειροτονημένον καὶ τοὺς περιπολά|[ρχ]ους καὶ τοὺς [δη]μάρχους καὶ τὴν βουλὴν τὴν ἀεὶ βουλεύου|[σαν] καὶ τῶν [ἄ]λλ[ων Ἀθη]ναίων τὸμ βουλόμενον τρόπωι ὅτωι ἂν|[ἐπ]ίστω[ν]ται.

76.

Lucianus

(* Samosatae c. 125 — † c. 192 p. Chr.)

Lexiphanes, 10 (Iacobitz): εἶτ' εὐθὺν ἐντυγχάνω δᾳδούχῳ τε καὶ ἱεροφάντῃ καὶ τοῖς ἄλλοις ἀρρητοποιοῖς Δεινίαν σύρουσιν ἄγδην ἐπὶ τὴν ἀρχήν, ἔγκλημα ἐπάγοντας, ὅτι ὠνόμαζεν αὐτοὺς καὶ ταῦτα εὖ εἰδὼς ὅτι ἐξ οὗπερ ὡσιώθησαν, ἀνώνυμοί τέ εἰσι καὶ οὐκέτι ὀνομαστοὶ ὡς ἂν ἱερώνυμοι ἤδη γεγενημένοι.

77.

Pausanias

(Exeunte saec. II p. Chr. vixit)

Gr. descr. 1, 38, 3 (Spiro): τελευτήσαντος δὲ Εὐμόλπου Κῆρυξ νεώτερος λείπεται τῶν παίδων, ὃν αὐτοὶ Κήρυκες θυγατρὸς Κέκροπος Ἀγλαύρου καὶ Ἑρμοῦ παῖδα εἶναι λέγουσιν, ἀλλὰ οὐκ Εὐμόλπου.

78.

Arrianus

(* Nicomediae, saec. II p. Chr. vixit)

Diss. Epict. 3, 21: οὐκ ἐσθῆτα ἔχεις, ἣν δεῖ τὸν ἱεροφάντην, οὐ στρόφιον οἷον δεῖ, οὐ φωνήν, οὐχ ἡλικίαν, οὐχ ἥγνευκας ὡς ἐκεῖνος;

79.

Theon Smyrnaeus

(Saec. II p. Chr. exeunte vixit)

Rer. math. (ed. Dupuy, p. 18): ἀνάδεσις καὶ στεμμάτων ἐπίθεσις ὥστε καὶ ἑτέροις ὅστις παρέλαβε τελετὰς παραδοῦναι δύνασθαι, δᾳδουχίας τυχόντα ἢ ἱεροφαντίας ἢ τινὸς ἄλλης ἱερωσύνης.

80.

Titulus

(Saec. III p. Chr.)

« Ephem. arch. », 1900, p. 79, ll. 26-35 (Dragoumis):

I		II
Ἱεροφάντης	διπλῆν	Ἱέρεια Κ⟨αύστιδος⟩
Δᾳδοῦχος	διπλῆν	[Ἱ]έρεια Μοι[ρῶν διπλ]ῆν
Ἀρχιερεύς	διπλῆν	καὶ ὅσοι π[αῖδες
Ἐξηγητής	διπλῆν	μεμύηνται]
Ἐξηγηταί τρεῖς	διπλᾶς	Φαιδυντὴς....
Ἱεροκῆρυξ	διπλῆν	Διὸς ἱερεύ[ς]....

80. Catalogus sacerdotii Eleusinii in tres columnas distributus, Eleusine inventus. Pertinet ad aetatem imperatorum Severorum.

Ἐπὶ βωμῷ	διπλῆν	Ἰακχαγωγό[ς]....
Ἀθηνᾶς ἱέρεια	διπλῆν	Βουζύγη[ς]....
Δήμητρος κ⟨αὶ⟩		Πυρφόρο[ς]....
Κ⟨όρης⟩	διπλῆν	Παναγή[ς]....
Ἱεροφάντιδες δύο	διπλᾶς	Ιερεύς θεο[ῦ καὶ θεᾶς]
		Ιερεὺς Τρ[ιπτολέμου]

III

Ἄρχων (ἐ)[πώνυμος ἁπλῆν] ἀφ' ἑσ[τίας]....
Μολπι⟨δαι⟩ ἁ(π)[λῆν] . . . .

81.

Titulus

(Saec. I p. Chr.)

« Bull. corr. hell. » 1895, p. 128 (Philios):
Ἱερο-φάν[τὴν] Μενε[κλ]είδην
Θεοφή[μου Κυδ]αθηναιέα ἡ γυνή...

82.

Titulus

(Saec. III p. Chr.)

« Ephem. arch. » 1883, p. 79 (Philios):
Ὦ μύσται, τότε μ' εἴδετ' ἀνακτόρου ἐκ προφανέντα
Νυξὶν ἐν ἀργεναῖς, νῦν δὲ μεθημέριον
Ἐκ προγόνων ῥητῆρα λόγοις ἐναγώνιον αἰεὶ·
Τῶν ἀποπαυσάμενος, θέσφατα νῶν ἰάχω.
Οὔνομα δ' ὅστις ἐγὼ μὴ δίζεο· θεσμὸς ἐκεῖνο
Μυστικὸς ᾤχετ' ἄγων εἰς ἅλα πορφυρέην.

82. Epitaphium Apollonii hieroph. se vivo conscriptum. De illo Apollonio agitur cuius nomen in catalogo hierophantum a Lenormant, Recherch. arch. Eleus. Paris. 1862, p. 143 invenitur. Verba vv 9-13 post mortem Apollonii adiecta fuerunt.

Ἀλλ' ὅταν εἰς μακάρων ἔλθω καὶ μόρσιμον ἦμαρ
Λέξουσιν τότε δὴ πάντες ὅσοις μέλομαι.
Νῦν ἤδη παῖδες κλυτὸν ὄυνομα πατρὸς ἀρίστου
Φαίνομεν ὅ ζωὸς κρύψεν ἅλὸς πε....
Οὗτος Ἀπολλώνιος ἀοίδιμος ὅν φ....
Σημαίνει μύσταις οὔνομα πατ[ρός;
Σὺν δὲ Ποσειδάωνι φερώνυμος εὐπα....

83.

Suidas

(Saec. X labente, aetate Basilii II imp. Byz. vixit)

Lex. (Gaisford) s. v. Φιλλεῖδαι· γένος ἐστὶν Ἀθήνησιν· ἐκ δέ τούτων ἡ ἱέρεια τῆς Δήμητρος καὶ Κόρης, ἡ μύουσα τοὺς μύστας ἐν Ἐλευσῖνι.

IV.

DE MYSTERIORUM PRAEPARATIONE

84.

Titulus

(Saec. V. a. Chr.)

« Bull. corr. hell. » 1880, p. 225: ἀπάρχεσθαι τοῖν θεοῖν τοῦ καρποῦ κατὰ τὰ πάτρια καὶ τὴν μαντείαν τὴν ἐγ Δελφῶν Ἀθηναίους ἀπὸ τῶν ἑκατὸν μεδίμνων κριθῶν μὴ ἔλαττον ἢ ἑκτέα, πυρῶν δὲ ἀπὸ τῶν ἑκατὸν μεδίμνων μὴ ἔλαττον ἢ ἡμιεκτέον. Ἐὰν δέ τις πλείω καρπὸν ποιῆι ἐτήσιον εἴτε ὀλείζω

84. Eleusine inventa. Continet decretum de primitiis deabus Eleusiniis consecrandis ex oraculi Delphici responso. 4. ἐκτεύς continet litr. 8,75 5. μέδιμνος atticus continet litr. 52,53.

κατὰ τὸν αὐτὸν λόγον ἀπάρχεσθαι. Ἐκλέγειν δὲ τοὺς δημάρχους κατὰ τοὺς δήμους καὶ παραδιδόναι τοῖς ἱεροποιοῖς τοῖς Ἐλευσινόθεν Ἐλευσῖνάδε.

Ἀπάρχεσθαι δὲ καὶ τοὺς συμμάχους κατὰ ταὐτά· τὰς δε πόλεις [ἐγ]λ]ογέας ἑλέσθαι τοῦ καρποῦ καθότι ἂν δοκῆι αὐτῆσι ἄριστα ὁ καρπὸς] ἐγλεγήσεσθαι. Ἐπειδὰν δὲ ἐγλεχθῆι ἀποπεμφοσάντων Ἀθήναζε. τοὺς δὲ ἀγαγόντας παραδιδόναι τοῖς ἱεροποιοῖς τοῖς Ἐλευσινόθεν Ἐλευσῖνάδε.

Κελευέτω δὲ καὶ ὁ ἱεροφάντης καὶ ὁ δαιδοῦχος μυστηρίοις ἀπάρχεσθαι τοὺς Ἕλληνας τοῦ καρποῦ κατὰ τὰ πάτρια καὶ τὴν μαντείαν τὴν ἐγ Δελφῶν.

Θύετω δὲ ἀπὸ μὲν τοῦ πελάνου καθότι ἂν Εὐμολπίδαι ἐσηγήσωνται, τρίττοιαν δὲ βούαρχον χρυσόκερων τοῖν θεοῖν ἑκατέραι ἀπὸ τῶν κριθῶν καὶ τῶν πυρῶν καὶ τῶι Τριπτολέμωι καὶ τῶι θεῶι καὶ τῆι θεᾶι καὶ τῶι Εὐβούλωι ἱερεῖον ἑκάστωι τέλειον καὶ τῆι Ἀθηναίαι βοῦν χρυσόκερον. τοῖς δὲ ταῦτα ποιοῦσι πολλὰ ἀγαθὰ εἶναι καὶ εὐκαρπίαν καὶ πολυκαρπίαν οἵτινες ἂν μὴ ἀδικῶσι Ἀθηναίους μηδὲ τὴν πόλιν τὴν Ἀθηναίων μηδὲ τὼ θεώ.

85.

Titulus

(Saec. V. a. Chr.)

IG. (Att.) I, 1. ll. 1-4 p. 4: Σπονδὰς εἶν|[αι] τοῖσι μύστ|[ησ]ιν καὶ τοῖ[ς] [ἐπό]πτησιν [κ|αὶ] τοῖς ἀκολ[ο|ύθ]οισιν καὶ [ἄ|λλ]οισιν το[ῖς] τού]των καὶ [Ἀθ]ην|αίοισιν [ἄ|π]ασιν, ἄρχει[ν δ|ὲ] τὸν χρόνο[ν τ]ῶ|ν

3. ἱεροποιοί decem Athenas repraesentabant in sacrificiis quibusdam publicis celebrandis.

σπονδῶν [τοῦ]|Μεταγειτνι[ῶ]|νος μηνὸς ἀπ[ὸ] δ]ιχομηνίας [κ]αὶ τὸν Βοηδρο|μιῶνα καὶ τοῦ [Π|υ]ανεψιῶνο[ς] μέχρι δεκάτ[η]|ς ἱσταμένου. [τ]|ὰς δὲ σπονδὰς|εἶναι ἐν τῆσ|[ι] πόλεσιν, ὅ[τ]|αν χρῶνται τ[ῷ]|ι ἱερῷ, καὶ Ἀ|θηναίοισιν ἐ|κεῖ ἐν τῆσιν|αὐτῆσι πόλεσ|ιν. τοῖσι δ[ὲ] ὀ[λ]|είζοσι μ[υ]στη|ρίοισιν τὰς [σ]|πονδὰς εἶνα[ι]|τοῦ Γαμηλιῶνο|ς μηνὸς ἀπὸ δ[ι|χ]ομηνίας κα[ὶ]|τὸν Ἀνθεστη[ρ]|ιῶνα καὶ τοῦ Ἐλ|αφηβολιῶνο[ς] μέχρι δεκάτ[η]|ς ἱσταμένου ....

86.

Isocrates

(* Athenis 436 — † 338 a. Chr.)

Paneg. 28. (Blass): Δήμητρος γὰρ ἀφικομένης εἰς τὴν χώραν, ὅτ' ἐπλανήθη τῆς Κόρης ἁρπασθείσης, καὶ πρὸς τοὺς προγόνους ἡμῶν εὐμενῶς διατεθείσης ἐκ τῶν εὐεργεσιῶν, ἃς οὐχ ἄλλοις ἢ τοῖς μεμυημένοις ἀκούειν, καὶ δούσης δωρέας διττὰς αἵπερ μέγισται τυγχάνουσιν οὖσαι, τούς τε καρπούς, οἳ τοῦ μὴ θηριωδῶς ζῆν ἡμᾶς αἴτιοι γεγόνασι, καὶ τὴν τελετήν, ἧς οἱ μετασχόντες περί τε τῆς τοῦ βίου τελευτῆς καὶ τοῦ σύμπαντος αἰῶνος ἡδίους τὰς ἐλπίδας ἔχουσιν.

87.

Aristoteles

(* Stagirae a. 384 — † 322 a. Chr.)

in Synes. Dion, 48 (ed. Migne): Ἀριστοτέλης ἀξιοῖ τοὺς τελουμένους οὐ μαθεῖν τί δεῖ ἀλλὰ παθεῖν καὶ διατεθῆναι γενομένους δηλονότι ἐπιτηδείους.

88.

Dio Chrysostomus

(* Prusae in Bithynia saec. I p. Chr. exeunte vixit)

Orat 17, p. 273 (Dindorf): ὥσπερ γὰρ ἐν τοῖς μυστηρίοις ὁ ἱεροφάντης οὐχ ἅπαξ προαγορεύει τοῖς μυουμένοις ἕκαστον ὧν χρή.

89.

Clemens Alexandrinus

(* Athenis (?) c. 150 — † c. 215 p. Chr.)

Strom. 2, 20, 106 (Stählin): ἐντεῦθεν οἶμαι καὶ ⟨τὸν εὑρόντα⟩ τὰς τελετὰς οὐ μόνον τινῶν ζῴων ἀπαγορεύειν ἅπτεσθαι, ἀλλ' ἔστι ἃ καὶ τῶν καταθυομένων ὑπεξείλετο τῆς χρήσεως μέρη δι' αἰτίας ἃς ἴσασιν οἱ μύσται.

V.

DE PARVIS MYSTERIIS

90.

Polyaenus

(* in Macedonia, saec. II medio, p. Chr. vixit)

Strat. 5, 17, 1 (Woelfflin-Melber): τὸν Ἰλισσὸν οὗ τὸν καθαρμὸν τελοῦσι τοῖς ἐλάττοσι μυστηρίοις.

5. ⟨ ⟩ inclusit Schwartz

91.

Clemens Alexandrinus

(* Athenis (?) c. 150 — † c. 215 p. Chr.)

Strom. 5. 11, 71, 1 (Stählin): μετὰ ταῦτα δ' ἐστὶ τὰ μικρὰ μυστήρια διδασκαλίας τινὰ ὑπόθεσιν ἔχοντα καὶ προπαρασκευῆς τῶν μελλόντων, τὰ δὲ μεγάλα περὶ τῶν συμπάντων, οὗ μανθάνειν <οὐκ> ἔτι ὑπολείπεται, ἐποπτεύειν δὲ καὶ περινοεῖν τήν τε φύσιν καὶ τὰ πράγματα.

92.

Scholia in Aristophanem

(Exeunte hellenistica aetate scripta sunt)

in Plutum 845 (Duebner): μυστήρια δὲ δύο τελεῖται τοῦ ἐνιαυτοῦ Δήμητρι καὶ Κόρῃ, τὰ μικρὰ καὶ τὰ μεγάλα. καὶ ἔστι τὰ μικρὰ ὥσπερ προκάθαρσις καὶ προάγνευσις τῶν μεγάλων. Ἄλλως· μεγάλα καὶ μικρὰ μυστήρια ἐτελοῦντο ἐν Ἐλευσῖνι τῆς Ἀττικῆς. μὴ ὄντων δὲ πρότερον μικρῶν, ἐλθόντος Ἡρακλέους καὶ θέλοντος μυηθῆναι, ἐπειδὴ νόμος ἦν Ἀθηναίοις μηδένα ξένον μυεῖν, αἰδεσθέντες τὴν αὐτοῦ ἀρετήν, καὶ ὅτι φίλος τε ἦν τῆς πόλεως καὶ υἱὸς τοῦ Διός, ἐποίησαν μικρὰ μυστήρια ἐν οἷς αὐτὸν ἐμύησαν. ἦσαν δὲ τὰ μὲν μεγάλα τῆς Δήμητρος, τὰ δὲ μικρὰ Περσεφόνης τῆς αὐτῆς θυγατρός.

3. προπαρασκευήν Sylburg   4. <ὧν>οὐ μανθάνειν ἔτι Schwartz

93.

Stephanus Byzantinus

(Saec. V. p. Chr. Constantinopoli vixit)

Lex. (Dindorf) s. v. Ἄγρα καὶ Ἄγραι, χωρίον ἑνικῶς καὶ πληθυντικῶς ἔστι καὶ τῆς Ἀττικῆς πρὸ τῆς πόλεως, ἐν ᾧ τὰ μικρὰ μυστήρια ἐπιτελεῖται, μίμημα τῶν περὶ τὸν Διόνυσον.

VI.

DE MAGNIS MYSTERIIS

a) Dieb. XIII et XIV Boedromionis

94.

Titulus

(An. 421 a. Chr.)

Athen. Mittheil. 1894, p. 146: τὸν Ῥειτὸν τὸν παρὰ τοῦ ἄστεως γεφυρῶσαι... ὡς ἂν τὰ ἱερὰ φέρωσιν αἱ ἱέρειαι ἀσφαλέστατα πλάτος δὲ ποιούντων πεντέποδα, ἵνα μὴ ἅμαξαι διελαύνωνται, ἀλλὰ τοῖς ἰοῦσιν ἧι βαδίζειν ἐπὶ τὰ ἱερά.

95.

Titulus

(Saec. II ineunte p. Chr.)

IG, 3, 5, ll. 6–19: δεδόχθαι τ]ῷ δήμῳ προσ|[τάξαι] τῷ κοσμητῇ τῶν [ἐφήβων κ]ατὰ τὰ ἀρχαῖα

3. prope Athenas. *94.* Tabula continens decretum pop. Athen. de incolumitate itineris «rerum sacrarum». 5. Rheitoi, duo parvi lacus iuxta viam sacram quae Athenas cum Eleusine iungit. *95.* Continet populi Athen. decretum de pompa «rerum sacrarum».

νόμι||[μα ἄ]γειν Ἐλευσῖναδε τοὺ[ς ἐφήβ]ους τῇ τρίτῃ ἐπὶ δέ[κα] τοῦ Βοηδρομιῶνος με[τὰ τ]οῦ εἰθισμένου σχήμα||[τος] τῆς ἅμα ἱεροῖς πομπ[ῆς, ἵ]να τῇ τετράδι ἐπὶ δέκα πα||[ραπ]έμψωσιν τὰ ἱερὰ μέ[χρι] τοῦ Ἐλευσεινίου τοῦ ὑπὸ||[τῇ π]όλει, ὡς ἂν κόσμ[ος] τε πλείων καὶ φρουρὰ μείζων||[περὶ]τὰ ἱερὰ ὑπάρχο[ι] ἐπειδὴ καὶ ὁ φαιδυντὴς τοῖν θε||[οῖν] ἀγκέλλει κ[ατ|ὰ τὰ πάτρια τῇ ἱερείᾳ τῆς Ἀθηνᾶς ὡς||[ἥκει τὰ] ἱερὰ κ[αὶ] ἡ παραπέμπουσα στρατία· κατὰ τὰ αὐτὰ||[δὲ καὶ τῇ ἐν]άτῃ ἐπὶ δέκα τοῦ Βοηδρομιῶνος προσ||[τάξα]ι τῷ κοσμητῇ τῶν ἐφήβων ἄγειν τοὺς ἐφή[βους|πάλιν] Ἐλευσεῖνάδε μετὰ τοῦ αὐτοῦ σχήματος [παραπ|έμπο]ντας τὰ ἱερά...

96.

Flavius Philostratus

(* Lemni, saec. III p. Chr. ineunte Athenis vixit)

Vit. soph. p. 262 (Kayser): ἐτάφη δὲ ἐν τῷ προαστείῳ τῆς Ἐλευσῖνάδε λεωφόρου. ὄνομα μὲν δὴ τῷ προαστείῳ ἱερὰ συκῆ, τὰ δὲ Ἐλευσινόθεν ἱερά, ἐπειδὰν ἐς ἄστυ ἄγωσιν, ἐκεῖ ἀναπαύουσιν.

b) Die XV Boedromionis

97.

Isocrates

(* Athenis a. 436 — † 338 a. Chr.)

Paneg. 157 (Blass): Εὐμολπίδαι δὲ καὶ Κήρυκες ἐν τῇ τελετῇ τῶν μυστηρίων διὰ τὸ τούτων μῖσος καὶ τοῖς ἄλλοις βαρβάροις εἴργεσθαι τῶν ἱερῶν ὥσπερ τοῖς ἀνδροφόνοις προαγορεύουσιν.

1 [πέμ]πειν proposuit P. Foucart.

98.

Theon Smyrnaeus

(Saec. II exeunte p. Chr. vixit)

Rer. math. 22 (Dupuis): οὔτε γὰρ ἅπασι τοῖς βουλομένοις μετουσία μυστηρίων ἐστὶν, ἀλλ' εἰσὶν οὓς αὐτῶν εἴργεσθαι προαγορεύεται. οἷον τοὺς χεῖρας μὴ καθαρὰς καὶ φωνὴν ἀξύνετον ἔχοντας.

99.

Scholia in Aristophanem

(Exeunte hellenistica aetate scripta sunt)

in Ranas 369 (Duebner): παρὰ τὴν τοῦ ἱεροφάντου καὶ δᾳδούχου πρόρρησιν τὴν ἐν τῇ ποικίλῃ στοᾷ.

100.

Hesychius

(* Alexandriae saec. X p. Chr. vixit)

Lex. (M. Schmidt) s. v. ἀγυρμός. ἐκκλησία. συγκρότησις. ἔστι δὲ πᾶν τὸ ἀγειρόμενον, καὶ τῶν μυστηρίων ἡμέρα πρώτη.

c) Die XVI Boedromionis

101.

Titulus

(Saec. V a. Chr.)

IG (Att) IV, I, p. 66 l. 35: τοῦ ὕδατος κρατεῖν τοῦ ἐγ Διὸς τὸν μισθωσάμενον ὁπόσον εντός ῥεῖ τοῦ

4. De hac formula cfr. etiam Liban. Corinth to. IV p. 356 (Reiske) 8. codd. ἀγυρόμενον. *101.* Continet decretum de agri locatione prope templum Bacchi Athenis.

Διονυσίου καὶ τῶν πυλῶν ἢ ἅλαδε ἐξελαύνουσιν οἱ μύσται.

102.

Polyaenus

(* in Macedonia saec. II medio p. Chr. vixit)

Strat. 3, 11, 2. (Melber): Χαβρίας περὶ Νάξον ναυμαχῶν, ἐνίκησε βοηδρομιῶνος ἕκτῃ ἐπὶ δέκα, ταύτην τὴν ἡμέραν ἐπιτήδειον τῇ ναυμαχίᾳ κρίνας, ὅτι ἦν μία τῶν μυστηρίων. οὕτω γέ τοι καὶ Θεμιστοκλῆς τοῖς Πέρσαις ἐναυμάχησε περὶ Σαλαμῖνα. ἀλλὰ οἱ μὲν περὶ Θεμιστοκλέα σύμμαχον ἔσχον τὸν Ἴακχον [οἱ δὲ περὶ Χαβρίαν] τὸ Ἅλαδε μύσται.

103.

Scholia in Aristophanem

(Exeunte hellenistica aetate scripta sunt)

in Acharn. 747 (Duebner): ἐν τοῖς μυστηρίοις τῆς Δήμητρος χοῖρος θύεται (ἀνάκειται δὲ τὸ ζῷον τῇ θεῷ) ἕκαστος δὲ τῶν μυουμένων ὑπὲρ ἑαυτοῦ ἔθυεν.

104.

in Pacem 374 (Duebner): ὅτι ἡ Δημήτηρ χοιροκτόνος ἦν, ἢ ὅτι τοῖς μυουμένοις ἐστὶν ἔθος χοιρίδιον θύειν ἐξ ἀνάγκης, ἐπεὶ δοκοῦσιν οἱ μεμυημένοι ἐν Ἅδου πλέον ἔχειν τῶν ἀμυήτων.

6. τῶν μεγάλων μυστ. Korais. 9. verba [ ] inclusa add. Maasvicius.

d) Diebus XVII et XVIII Boedromionis.

105.

Titulus

(Saec. IV ineunte a. Chr.)

IG (Att.) II, 1442: [Τηλέμαχ]ός σε ἵδρωσε Ἀσκληπιῷ ἠδὲ ὁμοβώμοις || πρῶτος ἱδρυσάμενος θυσίαις θείαις ὑποθήκαις.

106.

Aristoteles

(* Stagirae 384 — † 322 a. Chr.)

Ath. Pol. 564 (Blass): πομπῶν δ' ἐπιμελεῖται τῆς τῷ Ἀσκληπιῷ γιγνομένης, ὅταν οἰκουρῶσι μύσται.

107.

Flavius Philostratus

(* Lemni saec. III ineunte Athenis vixit)

Vita Apoll. 4, 18 (Kayser): τὰ δὲ Ἐπιδαύρια μετὰ πρόρρησίν τε καὶ ἱερεῖα δεῦρο μυεῖν Ἀθηναίοις πάτριον ἐπὶ θυσίᾳ δευτέρᾳ, τουτὶ δὲ ἐνόμισαν Ἀσκληπιοῦ ἕνεκα ὅτι δὴ ἐμύησαν αὐτὸν ἥκοντα Ἐπιδαυρόθεν ὀψὲ μυστηρίων.

e) Die XIX Boedromionis

108.

Herodotus

(* Halicarnassi c. 480 — † c. 426 a. Chr.)

Hist. 8, 65 (Dietsch-Kallenberg): τὴν δὲ ὁρτὴν ταύτην ἄγουσι Ἀθηναῖοι ἀνὰ πάντα ἔτεα τῇ Μητρὶ

105. Repertus in clivo merid. arcis. Cfr. IG (Att.) II, 1650.

καὶ τῇ Κούρῃ, καὶ αὐτῶν τε ὁ βουλόμενος καὶ τῶν ἄλλων Ἑλλήνων μυεῖται· καὶ τὴν φωνὴν τῆς ἀκούεις ἐν ταύτῃ τῇ ὀρτῇ ἰακχάζουσι.

109.

Aristophanes

(* Athenis c. 450 — † a. 388 a. Chr.)

Ran. 329-336 (Bergk):

Ἴακχ' ὦ πολυτίμητοις ἕδραις ἐνθάδε ναίων,
Ἴακχ', ὦ Ἴακχε,
ἐλθὲ τόν δ' ἀνὰ λειμῶνα χορεύσων,
ὁσίους ἐν θιασιώτας,
πολύκαρπον μὲν τινάσσων
περὶ κρατὶ σῷ βρύοντα
στέφανον μύρτων θρασεῖ δ' ἐγκατακρούων
ποδὶ τὰν ἀκόλαστον
φιλοπαίγμονα τιμάν,
χαρίτων πλεῖστον ἔχουσαν μέρος, ἁγνάν, ἱεράν
ὁσίοις μύσταις χορείαν.

339-352:

ἔγειρε· φλογέας λαμπάδας ἐν χερσὶ [τινάσσον] γὰρ ἥκει,
Ἴακχ', ὦ Ἴακχε,
νυκτέρου τελετῆς φωσφόρος ἀστήρ.
φλογὶ φέγγεται δὲ λειμών.
γόνυ πάλλεται γερόντων.
ἀποσείονται δὲ λύπας
χρονίους τ' ἐτῶν παλαιῶν ἐνιαυτούς,
ἱερᾶς ὑπὸ τιμᾶς.
σὺ δὲ λαμπάδι φέγγων

προβάδην ἔξαγ' ἐπ' ἀνθηρὸν ἕλειον δάπεδον
χοροποιόν, μάκαρ, ἥβαν.

110.

Strabo

(* Amaseae Ponti c. 60 a. Chr. — † c. 25 p. Chr.)

Geogr. 10, 3, 10 (Meineke): Ἴακχόν τε καὶ τὸν Διόνυσον καλοῦσι καὶ τὸν ἀρχηγέτην τῶν μυστηρίων, τῆς Δήμητρος δαίμονα.

111.

Plutarchus

(* Chaeroneae in Boeotia c. 50 a. Chr. — † c. 125 p. Chr.)

Phoc. 18 (Sintenis): εἰκάδι γὰρ ἡ φρουρὰ Βοηδρομιῶνος εἰσήχθη μυστηρίων ὄντων ᾗ τὸν Ἴακχον ἐξ ἄστεος Ἐλευσῖνάδε πέμπουσι, ὥστε τῆς τελετῆς συγχυθείσης ἀναλογίζεσθαι τοὺς πολλοὺς καὶ τὰ πρεσβύτερα τῶν θείων καὶ τὰ πρόσφατα.

112.

Photius

(* Constantinopoli c. 815 — † c. 898 p. Chr.)

Lex. (Naber) s. v. κροκοῦν. οἱ μύσται ὥς φασι κρόκῃ τὴν δεξιὰν χεῖρα καὶ τὸν πόδα ἀναδοῦνται· καὶ λέγεται τοῦτο κροκοῦν· οἱ δὲ ὅτι ἐνίοτε κρόκῳ καθαίρονται.

113.

Hesychius

(* Alexandriae saec X p. Chr. vixit)

Lex. (M. Schmidt) s. v. γεφυρίς· πόρνη τις ἐπὶ γεφύρας, ὡς Ἡρακλέων. ἄλλοι δὲ οὐ γυναῖκα, ἀλλὰ ἄνδρα ἐκεῖ καθεζόμενον τῶν ἐν Ἐλευσῖνι μυστηρίων συγκαλυπτόμενον ἐξ ὀνόματος σκώμματα λέγειν εἰς τοὺς ἐνδόξους πολίτας.

γεφυρισταί· οἱ σκῶπται· ἐπεὶ εν Ἐλευσῖνι ἐπὶ τῆς γεφύρας τοῖς μυστηρίοις καθεζόμενοι ἔσκωπτον τοὺς παριόντας.

VII.

DE DRAMATE LITURGICO DEMETROS ET CORAE ET INITIATIONE GRADUS INFERIORIS (μύησις)

f) Die XXI Boedromionis

114.

Hymnus Hom. in Demetran

(Saec. VII exeunte a. Chr.)

(Baumeister):

Δήμητρ' ἠύκομον, σεμνὴν θεὸν, ἄρχομ' ἀείδειν,
αὐτὴν ἠδὲ θύγατρα τανύσφυρον, ἣν Ἀϊδωνεὺς
ἥρπαξεν, δῶκεν δὲ βαρύκτυπος εὐρυόπα Ζεύς,
νόσφιν Δήμητρος χρυσαόρου, ἀγλαοκάρπου,
παίζουσαν κούρῃσι σὺν Ὠκεανοῦ βαθυκόλποις,
ἄνθεά τ' αἰνυμένην, ῥόδα καὶ κρόκον ἠδ' ἴα καλὰ
λειμῶν' ἂμ μαλακὸν καὶ ἀγαλλίδας ἠδ' ὑάκινθον
νάρκισσόν θ', ὂν ἔφυσε δόλον καλυκώπιδι κούρῃ

Γαῖα Διὸς βουλῇσι χαριζομένη Πολυδέκτῃ,
θαυμαστὸν γανόωντα, σέβας δέ τε πᾶσιν ἰδέσθαι
ἀθανάτοις τε θεοῖς ἠδὲ θνητοῖς ἀνθρώποις·
τοῦ καὶ ἀπὸ ῥίζης ἑκατὸν κάρα ἐξεπεφύκει·
κηώδει δ' ὀδμῇ πᾶς τ' οὐρανὸς εὐρὺς ὕπερθε
γαῖά τε πᾶσ' ἐγέλασσε καὶ ἁλμυρὸν οἶδμα θαλάσσης.
ἡ δ' ἄρα θαμβήσασ' ὠρέξατο χερσὶν ἅμ' ἄμφω
καλὸν ἄθυρμα λαβεῖν· χάνε δὲ χθὼν εὐρυάγυια
Νύσιον ἂμ πεδίον, τῇ ὄρουσεν ἄναξ Πολυδέγμων
ἵπποις ἀθανάτοισι, Κρόνου πολυώνυμος υἱός.
ἁρπάξας δ' ἀέκουσαν ἐπὶ χρυσέοισιν ὄχοισιν
ἦγ' ὀλοφυρομένην· ἰάχησε δ' ἄρ' ὄρθια φωνῇ,
κεκλομένη πατέρα Κρονίδην ὕπατον καὶ ἄριστον
οὐδέ τις ἀθανάτων οὐδὲ θνητῶν ἀνθρώπων
ἤκουσεν φωνῆς, οὐδ' ἀγλαόκαρποι Ἔλειαι·
εἰ μὴ Περσαίου θυγάτηρ ἀταλὰ φρονέουσα
ἄϊεν ἐξ ἄντρου, Ἑκάτη λιπαροκρήδεμνος,
Ἠέλιός τε ἄναξ, Ὑπερίονος ἀγλαὸς υἱός,
κούρης κεκλομένης πατέρα Κρονίδην· ὁ δὲ νόσφιν
ἧστο θεῶν ἀπάνευθε πολυλλίστῳ ἐνὶ νηῷ,
δέγμενος ἱερὰ καλὰ παρὰ θνητῶν ἀνθρώπων.
τὴν δ' ἀεκαζομένην ἦγεν Διὸς ἐννεσίῃσι
πατροκασίγνητος, πολυσημάντωρ πολυδέγμων,
ἵπποις ἀθανάτοισι, Κρόνου πολυώνυμος υἱός.
ὄφρα μὲν οὖν γαῖάν τε καὶ οὐρανὸν ἀστερόεντα
λεῦσσε θεὰ, καὶ πόντον ἀγάρροον ἰχθυόεντα,
αὐγάς τ' ἠελίου, ἔτι δ' ἤλπετο μητέρα κεδνὴν
ὄψεσθαι καὶ φῦλα θεῶν αἰειγενετάων·
τόφρα οἱ ἐλπὶς ἔθελγε μέγαν νόον ἀχνυμένης περ·

23. Ἔλειαι Ilgenius, cod. ἐλαῖαι

* * *

ἤχησαν δ' ὀρέων κορυφαὶ καὶ βένθεα πόντου
φωνῇ ὑπ' ἀθανάτῃ· τῆς δ' ἔκλυε πότνια μήτηρ.
ὀξὺ δέ μιν κραδίην ἄχος ἔλλαβεν, ἀμφὶ δὲ χαίταις
ἀμβροσίαις κρήδεμνα δαΐζετο χερσὶ φίλῃσι,
κυάνεον δὲ κάλυμμα κατ' ἀμφοτέρων βάλετ' ὤμων,
σεύατο δ', ὥστ' οἰωνός, ἐπὶ τραφερήν τε καὶ ὑγρὴν
μαιομένη· τῇ δ' οὔτις ἐτήτυμα μυθήσασθαι
ἤθελεν οὔτε θεῶν οὔτε θνητῶν ἀνθρώπων,
οὐδέ οἱ οἰωνῶν τις ἐτήτυμος ἄγγελος ἦλθεν.
ἐννῆμαρ μὲν ἔπειτα κατὰ χθόνα πότνια Δηὼ
στρωφᾶτ', αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχουσα,
οὐδέ ποτ' ἀμβροσίης καὶ νέκταρος ἡδυπότοιο
πάσσατ' ἀκηχεμένη, οὐδὲ χρόα βάλλετο λουτροῖς.
ἀλλ' ὅτε δὴ δεκάτη οἱ ἐπήλυθε φαινόλις Ἠώς,
ἤντετό οἱ Ἑκάτη, σέλας ἐν χείρεσσιν ἔχουσα,
καί ῥά οἱ ἀγγελέουσα ἔπος φάτο φώνησέν τε.
Πότνια Δημήτηρ, ὡρηφόρε, ἀγλαόδωρε,
τίς θεῶν οὐρανίων ἠὲ θνητῶν ἀνθρώπων
ἥρπασε Περσεφόνην, καὶ σὸν φίλον ἤκαχε θυμόν;
φωνῆς γὰρ ἤκουσ', ἀτὰρ οὐκ ἴδον ὀφθαλμοῖσιν,
ὅστις ἔην· σοὶ δ' ὦκα λέγω νημερτέα πάντα

* * *

Ὣς ἄρ' ἔφη Ἑκάτη· τὴν δ' οὐκ ἠμείβετο μύθῳ
Ῥείης ἠϋκόμου θυγάτηρ, ἀλλ' ὦκα σὺν αὐτῇ
ἤϊξ', αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχουσα.
Ἠέλιον δ' ἵκοντο, θεῶν σκοπὸν ἠδὲ καὶ ἀνδρῶν,
στὰν δ' ἵππων προπάροιθε, καὶ εἴρετο δῖα θεάων
Ἠέλι', αἴδεσσαί με θέας ὕπερ, εἴ ποτε δή σευ
ἢ ἔπει ἢ ἔργῳ κραδίην καὶ θυμὸν ἴηνα·

κούρην, τὴν ἔτεκον, γλυκερὸν θάλος, εἴδεϊ κυδρὴν,
τῆς ἀδινὴν ὄπ' ἄκουσα δι' αἰθέρος ἀτρυγέτοιο
ὥστε βιαζομένης, ἀτὰρ οὐκ ἴδον ὀφθαλμοῖσιν.
ἀλλὰ, σὺ γὰρ δὴ πᾶσαν ἐπὶ χθόνα καὶ κατὰ πόντον
αἰθέρος ἐκ δίης καταδέρκεαι ἀκτίνεσσι,
νημερτέως μοι ἔνισπε φίλον τέκος, εἴ που ὄπωπας,
ὅστις νόσφιν ἐμεῖο λαβὼν ἀέκουσαν ἀνάγκῃ
οἴχεται ἠὲ θεῶν ἢ καὶ θνητῶν ἀνθρώπων.
Ὣς φάτο· τὴν δ' Ὑπεριονίδης ἠμείβετο μύθῳ·
Ῥείης ἠϋκόμου θύγατερ, Δήμητερ ἄνασσα,
εἰδήσεις· δὴ γὰρ μέγα ἅζομαι ἠδ' ἐλεαίρω
ἀχνυμένην περὶ παιδὶ τανυσφύρῳ· οὐδέ τις ἄλλος
αἴτιος ἀθανάτων, εἰ μὴ νεφεληγερέτα Ζεὺς,
ὅς μιν ἔδωκ' Ἀίδῃ θαλερὴν κεκλῆσθαι ἄκοιτιν
αὐτοκασιγνήτῳ· ὁ δ' ὑπὸ ζόφον ἠερόεντα
ἁρπάξας ἵπποισιν ἄγεν μεγάλα ἰάχουσαν.
ἀλλὰ, θεὰ, κατάπαυε μέγαν γόον [οὐδέ τι σε χρὴ
μὰψ αὔτως ἄπλητον ἔχειν χόλον·] οὔ τοι ἀεικὴς
γαμβρὸς ἐν ἀθανάτοις πολυσημάντωρ Ἀϊδωνεὺς,
αὐτοκασίγνητος καὶ ὁμόσπορος· ἀμφὶ δὲ τιμῇ,
ἔλλαχεν, ὡς τὰ πρῶτα διάτριχα δασμὸς ἐτύχθη·
τοῖς μεταναιετάει, τῶν ἔλλαχε κοίρανος εἶναι.
Ὣς εἰπὼν ἵπποισιν ἐκέκλετο· τοὶ δ' ὑπ' ὀμοκλῆς
ῥίμφ' ἔφερον θοὸν ἅρμα, τανύπτεροι ὥστ' οἰωνοί.
τὴν δ' ἄχος αἰνότερον καὶ κύντερον ἵκετο θυμόν.
χωσαμένη δὴ ἔπειτα κελαινεφέϊ Κρονίωνι
νοσφισθεῖσα θεῶν ἀγορὴν καὶ μακρὸν Ὄλυμπον
ᾤχετ' ἐπ' ἀνθρώπων πόλιας καὶ πίονα ἔργα,
εἶδος ἀμαλδύνουσα πολὺν χρόνον· οὐδέ τις ἀνδρῶν
εἰσορόων γίνωσκε βαθυζώνων τε γυναικῶν,
πρίν γ' ὅτε δὴ Κελεοῖο δαΐφρονος ἵκετο δῶμα,

ὅς τότ' Ἐλευσῖνος θυοέσσης κοίρανος ἦεν.
ἕζετο δ' ἐγγὺς ὁδοῖο φίλον τετιημένη ἦτορ,
Παρθενίῳ φρέατι, ὅθεν ὑδρεύοντο πολῖται,
ἐν σκιῇ, αὐτὰρ ὕπερθε πεφύκει θάμνος ἐλαίης,
γρηῒ παλαιγενέϊ ἐναλίγκιος, ἥ τε τόκοιο
εἴργηται δώρων τε φιλοστεφάνου Ἀφροδίτης,
οἷαί τε τροφοὶ εἰσὶ θεμιστοπόλων βασιλήων
παίδων καὶ ταμίαι κατὰ δώματα ἠχήεντα.
τὴν δὲ ἴδον Κελεοῖο Ἐλευσινίδαο θύγατρες,
ἐρχόμεναι μεθ' ὕδωρ εὐήρυτον, ὄφρα φέροιεν
κάλπισι χαλκείῃσι φίλα πρὸς δώματα πατρὸς,
τέσσαρες, ὥστε θεαὶ, κουρήϊον ἄνθος ἔχουσαι,
Καλλιδίκη καὶ Κλεισιδίκη Δημώ τ' ἐρόεσσα
Καλλιθόη θ', ἣ τῶν προγενεστάτη ἦεν ἁπασῶν·
οὐδ' ἔγνων· χαλεποὶ δὲ θεοὶ θνητοῖσιν ὁρᾶσθαι.
ἀγχοῦ δ' ἱστάμεναι ἔπεα πτερόεντα προσηύδων·
Τίς πόθεν ἐσσὶ γρηῢ παλαιγενέων ἀνθρώπων;
τίπτε δὲ νόσφι πόληος ἀπέστιχες, οὐδὲ δόμοισι
πιλνᾷ; ἔνθα γυναῖκες ἀνὰ μέγαρα σκιόεντα
τηλίκαι, ὡς σύ περ ὧδε, καὶ ὁπλότεραι γεγάασιν,
αἵ κέ σε φίλωνται ἠμὲν ἔπει ἠδὲ καὶ ἔργῳ.
Ὣς ἔφαν· ἡ δ' ἐπέεσσιν ἀμείβετο πότνα θεάων·
τέκνα φίλ', αἵτινες ἐστὲ γυναικῶν θηλυτεράων,
χαίρετ'· ἐγὼ δ' ὑμῖν μυθήσομαι· οὔ τοι ἀεικὲς
ὑμῖν εἰρομένῃσιν ἀληθέα μυθήσασθαι.
Δὼς μὲν ἐμοί γ' ὄνομ' ἐστί· τὸ γὰρ θέτο πότνια μήτηρ.
νῦν αὖτε Κρήτηθεν ἐπ' εὐρέα νῶτα θαλάσσης
ἤλυθον οὐκ ἐθέλουσα, βίῃ δ' ἀέκουσαν ἀνάγκῃ
ἄνδρες ληιστῆρες ἀπήγαγον. οἱ μὲν ἔπειτα
νηῒ θοῇ Θορικόνδε κατέσχεθον, ἔνθα γυναῖκες
ἠπείρου ἐπέβησαν ἀολλέες, ἠδὲ καὶ αὐτοί·

δεῖπον δ' ἡρτύνοντο παρὰ πρυμνήσια νηός·
ἀλλ' ἐμοὶ οὐ δόρποιο μελίφρονος ἤρατο θυμός·
λάθρη δ' ὁρμηθεῖσα δι' ἠπείροιο μελαίνης,
φεῦγον ὑπερφιάλους σημάντορας, ὄφρα κε μή με
ἀπριάτην περάσαντες ἐμῆς ἀποναίατο τιμῆς.
οὕτω δεῦρ' ἱκόμην ἀλαλημένη, οὐδέ τι οἶδα,
ἥτις δὴ γαῖ' ἐστὶ, καὶ οἵτινες ἐγγεγάασιν.
ἀλλ' ὑμῖν μὲν πάντες Ὀλύμπια δώματ' ἔχοντες
δοῖεν κουριδίους ἄνδρας, καὶ τέκνα τεκέσθαι,
ὡς ἐθέλουσι τοκῆες· ἐμὲ δ' αὖτ' οἰκτείρατε, κοῦραι,
προφρονέως, φίλα τέκνα, τέως πρὸς δώμαθ' ἵκωμαι
ἀνέρος ἠδὲ γυναικὸς, ἵνα σφίσιν ἐργάζωμαι
πρόφρων, οἷα γυναικὸς ἀφήλικος ἔργα τέτυκται.
καί κεν παῖδα νεογνὸν ἐν ἀγκοίνῃσιν ἔχουσα
καλὰ τιθηνοίμην, καὶ δώματα τηρήσαιμι,
καί κε λέχος στορέσαιμι μυχῷ θαλάμων εὐπήκτων
δεσπόσυνον, καί κ' ἔργα διδασκήσαιμι γυναῖκας.
Φῆ ῥα θεά· τὴν δ' αὐτίκ' ἀμείβετο παρθένος ἀδμὴς,
Καλλιδίκη, Κελεοῖο θυγατρῶν εἶδος ἀρίστη·
Μαῖα, θεῶν μὲν δῶρα καὶ ἀχνύμενοί περ ἀνάγκῃ
τέτλαμεν ἄνθρωποι· δὴ γὰρ πολὺ φέρτεροί εἰσιν.
ταῦτα δέ τοι σαφέως ὑποθήσομαι, ἠδ' ὀνομήνω
ἀνέρας, οἷσιν ἔπεστι μέγα κράτος ἐνθάδε τιμῆς,
δήμου τε προὔχουσιν, ἰδὲ κρήδεμνα πόληος
εἰρύαται βουλῇσι καὶ ἰθείῃσι δίκῃσιν·
ἠμὲν Τριπτολέμου πυκιμήδεος ἠδὲ Διόκλου
ἠδὲ Πολυξείνου καὶ ἀμύμονος Εὐμόλποιο
καὶ Δολίχου καὶ πατρὸς ἀγήνορος ἡμετέροιο.
τῶν πάντων ἄλοχοι κατὰ δώματα πορσαίνουσιν·
τάων οὐκ ἄν τίς σε κατὰ πρώτιστον ὀπωπὴν

144. διδασκήσαιμι Vossius, cod. διαθήσαιμι.

εἶδος ἀτιμήσασα δόμων ἀπονοσφίσσειεν,
ἀλλά σε δέξονται· δὴ γὰρ θεοείκελός ἐσσι.
εἰ δὲ θέλεις, ἐπίμεινον, ἵνα πρὸς δώματα πατρὸς
ἔλθωμεν καὶ μητρὶ βαθυζώνῳ Μετανείρῃ
εἴπωμεν τάδε πάντα διαμπερές, αἴ κέ σ' ἀνώγῃ
ἡμέτερόνδ' ἰέναι μηδ' ἄλλων δώματ' ἐρευνᾶν.
τηλύγετος δέ οἱ υἱὸς ἐνὶ μεγάρῳ εὐπήκτῳ
ὀψίγονος τρέφεται, πολυεύχετος ἀσπάσιός τε.
εἰ τόν γ' ἐκθρέψαιο, καὶ ἥβης μέτρον ἵκοιτο,
ῥεῖά κε τίς σε ἰδοῦσα γυναικῶν θηλυτεράων
ζηλώσαι· τόσα κέν τοι ἀπὸ θρεπτήρια δοίη.
Ὣς ἔφαθ'. ἡ δ' ἐπένευσε καρήατι· ταὶ δὲ φαεινὰ
πλησάμεναι ὕδατος φέρον ἄγγεα κυδιάουσαι.
ῥίμφα δὲ πατρὸς ἵκοντο μέγαν δόμον, ὦκα δὲ μητρὶ
ἔννεπον, ὡς εἶδόν τε καὶ ἔκλυον. ἡ δὲ μάλ' ὦκα
ἐλθούσας ἐκέλευε καλεῖν ἐπ' ἀπείρονι μισθῷ.
αἱ δ' ὥστ' ἢ ἔλαφοι ἢ πόρτιες εἴαρος ὥρῃ
ἅλλοντ' ἀν λειμῶνα κορεσσάμεναι φρένα φορβῇ,
ὣς αἳ ἐπισχόμεναι ἑανῶν πτύχας ἱμεροέντων
ἤϊξαν κοίλην κατ' ἀμαξιτόν· ἀμφὶ δὲ χαῖται
ὤμοις ἀίσσοντο κροκηΐῳ ἄνθει ὁμοῖαι.
τέτμον δ' ἐγγὺς ὁδοῦ κυδρὴν θεόν, ἔνθα πάρος περ
κάλλιπον· αὐτὰρ ἔπειτα φίλα πρὸς δώματα πατρὸς
ἡγεῦνθ'· ἡ δ' ἄρ' ὄπισθε φίλον τετιημένη ἦτορ
στεῖχε κατὰ κρῆθεν κεκαλυμμένη· ἀμφὶ δὲ πέπλος
κυάνεος ῥαδινοῖσι θεῆς ἐλελίζετο ποσσίν.
εἶψα δὲ δώμαθ' ἵκοντο διοτρεφέος Κελεοῖο,
βὰν δὲ δι' αἰθούσης, ἔνθα σφίσι πότνια μήτηρ
ἧστο παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
παῖδ' ὑπὸ κόλπῳ ἔχουσα, νέον θάλος· αἱ δὲ παρ' αὐτὴν
ἔδραμον· ἡ δ' ἄρ' ἐπ' οὐδὸν ἔβη ποσὶ, καὶ ῥα μελάθρου

κῦρε κάρη, πλῆσεν δὲ θύρας σέλαος θείοιο.
τὴν δ' αἰδώς τε σέβας τε ἰδὲ χλωρὸν δέος εἷλεν·
εἶξε δέ οἱ κλισμοῖο καὶ ἑδριάασθαι ἄνωγεν.
ἀλλ' οὐ Δημήτηρ ὡρηφόρος ἀγλαόδωρος
ἤθελεν ἑδριάασθαι ἐπὶ κλισμοῖο φαεινοῦ,
ἀλλ' ἀκέουσα ἔμιμνε, κατ' ὄμματα καλὰ βαλοῦσα,
πρίν γ' ὅτε δή οἱ ἔθηκεν Ἰάμβη κέδν' εἰδυῖα
πηκτὸν ἕδος, καθύπεσθε δ' ἐπ' ἀργύφεον βάλε κῶας.
ἔνθα καθεζομένη προκατέσχετο χερσὶ καλύπτρην·
δηρὸν δ' ἄφθογγος τετιημένη ἧστ' ἐπὶ δίφρου,
οὐδέ τιν' οὔτ' ἔπεϊ προσπτύσσετο οὔτε τι ἔργῳ,
ἀλλ' ἀγέλαστος, ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος,
ἧστο, πόθῳ μινύθουσα βαθυζώνοιο θυγατρός,
πρίν γ' ὅτε δὴ χλεύῃς μιν Ἰάμβη κέδν' εἰδυῖα
πολλὰ παρασκώπτουσ' ἐτρέψατο πότνιαν, ἁγνήν,
μειδῆσαι γελάσαι τε καὶ ἵλαον σχεῖν θυμόν·
ἣ δή οἱ καὶ ἔπειτα μεθύστερον εὔαδεν ὀργαῖς.
τῇ δὲ δέπας Μετάνειρα δίδου μελιηδέος οἴνου
πλήσασ'· ἡ δ' ἀνένευσ'· οὐ γὰρ θεμιτόν οἱ ἔφασκε
πίνειν οἶνον ἐρυθρόν· ἄνωγε δ' ἄρ' ἄλφι καὶ ὕδωρ
δοῦναι μίξασαν πιέμεν γλήχωνι τερείνῃ.
ἡ δὲ κυκεῶ τεύξασα θεᾷ πόρεν, ὡς ἐκέλευε·
δεξαμένη δ' ὁσίης ἐπέβη πολυπότνια Δηώ.
τῇσι δὲ μύθων ἦρχεν ἐΰζωνος Μετάνειρα·
Χαῖρε, γύναι, ἐπεὶ οὔ σε κακῶν ἄπ' ἔολπα τοκήων
ἔμμεναι, ἀλλ' ἀγαθῶν· ἐπί τοι πρέπει ὄμμασιν αἰδὼς
καὶ χάρις, ὡσεί πέρ τε θεμιστοπόλων βασιλήων.
ἀλλὰ θεῶν μὲν δῶρα καὶ ἀχνύμενοί περ ἀνάγκῃ
τέτλαμεν ἄνθρωποι· ἐπὶ γὰρ ζυγὸς αὐχένι κεῖται.
νῦν δ', ἐπεὶ ἵκεο δεῦρο, παρέσσεται, ὅσσα τ' ἐμοί περ.

211. ἐπέβη Vossius, cod. ἕνεκεν.

παῖδα δέ μοι τρέφε τόνδε, τὸν ὀψίγονον καὶ ἄελπτον
ὤπασαν ἀθάνατοι, πολυάρητος δέ μοι ἐστίν.
εἰ τόν γ' ἐκθρέψαιο, καὶ ἥβης μέτρον ἵκοιτο,
ἦ ῥά κε τίς σε ἰδοῦσα γυναικῶν θηλυτεράων
ζηλώσαι· τόσα κέν τοι ἀπὸ θρεπτήρια δοίην.
Τὴν δ' αὖτε προσέειπεν ἐϋστέφανος Δημήτηρ·
καὶ σὺ, γύναι, μάλα χαῖρε, θεοὶ δέ τοι ἐσθλὰ πόροιεν.
παῖδα δέ τοι πρόφρων ὑποδέξομαι, ὥς με κελεύεις
θρέψασθ'· οὔ μιν, ἔολπα, κακοφραδίῃσι τιθήνης
οὔτ' ἄρ' ἐπηλυσίη δηλήσεται οὔτε τομαῖον·
οἶδα γὰρ ἀντίτομον μέγα φέρτερον οὐλοτόμοιο,
οἶδα δ' ἐπηλυσίης πολυπήμονος ἐσθλὸν ἐρυσμόν.
Ὣς ἄρα φωνήσασα θυώδεϊ δέξατο κόλπῳ
χερσίν τ' ἀθανάτῃσι· γεγήθει δὲ φρένα μήτηρ.
ὣς ἡ μὲν Κελεοῖο δαΐφρονος ἀγλαὸν υἱὸν,
Δημοφόωνθ', ὃν ἔτικτεν ἐΰζωνος Μετάνειρα,
ἔτρεφεν ἐν μεγάροις· ὁ δ' ἀέξετο δαίμονι ἶσος,
οὔτ' οὖν σῖτον ἔδων, οὐ θησάμενος [γάλα μητρός·
ἀλλὰ γὰρ ἤματα μέν μιν ἐϋστέφανος] Δημήτηρ
χρίεσκ' ἀμβροσίῃ, ὡσεὶ θεοῦ ἐκγεγαῶτα,
ἡδὺ καταπνείουσα καὶ ἐν κόλποισιν ἔχουσα·
νύκτας δὲ κρύπτεσκε πυρὸς μένει, ἠΰτε δαλόν,
λάθρα φίλων γονέων· τοῖς δὲ μέγα θαῦμ' ἐτέτυκτο,
ὡς προθαλὴς τελέθεσκε, θεοῖσι δὲ ἄντα ἐῴκει.
καί κέν μιν ποίησεν ἀγήρων τ' ἀθανατόν τε,
εἰ μὴ ἄρ' ἀφραδίῃσιν ἐΰζωνος Μετάνειρα
νύκτ' ἐπιτηρήσασα θυώδεος ἐκ θαλάμοιο
σκέψατο· κώκυσεν δὲ καὶ ἄμφω πλήξατο μηρὼ
δείσασ' ᾧ περὶ παιδὶ καὶ ἀάσθη μέγα θυμῷ,
καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·

236. Verba [ ] inclusa supplevit, ex conjectura, Baumeister.

Τέκνον Δημοφόων, ξείνη σε πυρὶ ἔνι πολλῷ
κρύπτει, ἐμοὶ δὲ γόον καὶ κήδεα λυγρὰ τίθησιν.
Ὣς φάτ' ὀδυρομένη· τῆς δ' ἄϊε δῖα θεάων.
τῇ δὲ χολωσαμένη καλλιστέφανος Δημήτηρ
παῖδα φίλον, τὸν ἄελπτον ἐνὶ μεγάροισιν ἔτικτε,
χείρεσσ' ἀθανάτῃσιν ἀπὸ ἕο θῆκε πέδονδε,
ἐξανελοῦσα πυρός, θυμῷ κοτέσασα μάλ' αἰνῶς,
καί ῥ' ἄμυδις προσέειπεν ἐΰζωνον Μετάνειραν·
Νήϊδες ἄνθρωποι, ἀφράδμονες οὔτ' ἀγαθοῖο
αἶσαν ἐπερχομένου προγνώμεναι οὔτε κακοῖο·
καὶ σὺ γὰρ ἀφραδίῃσι τεῇς νήκεστον ἀάσθης.
ἴστω γὰρ θεῶν ὅρκος, ἀμείλικτον Στυγὸς ὕδωρ,
ἀθάνατον κέν τοι καὶ ἀγήραον ἤματα πάντα
παῖδα φίλον ποίησα καὶ ἄφθιτον ὤπασα τιμήν·
νῦν δ' οὐκ ἔσθ', ὥς κεν θάνατον καὶ κῆρας ἀλύξαι·
τιμὴ δ' ἄφθιτος αἰὲν ἐπέσσεται, οὕνεκα γουνῶν
ἡμετέρων ἐπέβη καὶ ἐν ἀγκοίνῃσιν ἴαυσεν
ὥρῃσιν δ' ἄρα τοῦγε, περιπλομένων ἐνιαυτῶν,
παῖδες 'Ελευσινίων πόλεμον καὶ φύλοπιν αἰνὴν
αἰὲν 'Αθηναίοισι συνάξουσ' ἤματα πάντα.

* * *

εἰμὶ δὲ Δημήτηρ τιμάοχος, ἥτε μέγιστον
ἀθανάτοις θνητοῖσί τ' ὄναρ καὶ χάρμα τέτυκται.
ἀλλ' ἄγε μοι νηόν τε μέγαν καὶ βωμὸν ὑπ' αὐτῷ
τευχόντων πᾶς δῆμος ὑπαὶ πόλιν αἰπύ τε τεῖχος,
Καλλιχόρου καθύπερθεν, ἐπὶ προὔχοντι κολωνῷ.
ὄργια δ' αὐτὴ ἐγὼν ὑποθήσομαι, ὡς ἂν ἔπειτα
εὐαγέως ἔρδοντες ἐμὸν νόον ἱλάσκοισθε.
Ὣς εἰποῦσα θεὰ μέγεθος καὶ εἶδος ἄμειψε,

267. Ἀθηναίοισι· Matthias, cod. ἐν ἀλλήλοισι.

γῆρας ἀπωσαμένη, περί τ' ἀμφί τε κάλλος ἄητο·
ὀδμὴ δ' ἱμερόεσσα θυηέντων ἀπὸ πέπλων
σκίδνατο, τῆλε δὲ φέγγος ἀπὸ χροὸς ἀθανάτοιο
λάμπε θεῆς, ξανθαὶ δὲ κόμαι κατενήνοθεν ὤμους,
αὐγῆς δ' ἐπλήσθη πυκινὸς δόμος, ἀστεροπῆς ὥς·
βῆ δὲ διὲκ μεγάρων· τῆς δ' αὐτίκα γούνατ' ἔλυντο,
δηρὸν δ' ἄφθογγος γένετο χρόνον, οὐδέ τι παιδὸς
μνήσατο τηλυγέτοιο ἀπὸ δαπέδου ἀνελέσθαι.
τοῦ δὲ κασίγνηται φωνὴν ἐσάκουσαν ἐλεινήν,
κὰδ δ' ἄρ' ἀπ' εὐστρώτων λεχέων θόρον· ἡ μὲν ἔπειτα
παῖδ' ἀνὰ χερσὶν ἑλοῦσα ἑῷ ἐγκάτθετο κόλπῳ·
ἡ δ' ἄρα πῦρ ἀνέκαι'· ἡ δ' ἔσσυτο πόσσ' ἁπαλοῖσι,
μητέρ' ἀναστήσουσα θυώδεος ἐκ θαλάμοιο.
ἀγρόμεναι δέ μιν ἀμφὶς ἐλούεον ἀσπαίροντα
ἀμφαγαπαζόμεναι· τοῦ δ' οὐ μειλίσσετο θυμός·
χειρότεραι γὰρ δή μιν ἔχον τροφοὶ ἠδὲ τιθῆναι.
Αἳ μὲν παννύχιαι κυδρὴν θεὸν ἱλάσκοντο,
δείματι παλλόμεναι· ἅμα δ' ἠοῖ φαινομένηφιν
εὐρυβίῃ Κελεῷ νημερτέα μυθήσαντο,
ὡς ἐπέτελλε θεά, καλλιστέφανος Δημήτηρ.
αὐτὰρ ὅγ' εἰς ἀγορὴν καλέσας πολυπείρονα λαὸν
ἤνωγ' ἠϋκόμῳ Δημήτερι πίονα νηὸν
ποιῆσαι καὶ βωμὸν ἐπὶ προὔχοντι κολωνῷ.
οἱ δὲ μάλ' αἶψ' ἐπίθοντο καὶ ἔκλυον αὐδήσαντος,
τεῦχον δ', ὡς ἐπέτελλ'· ὁ δ' ἀέξετο δαίμονος αἴσῃ·
αὐτὰρ ἐπεὶ τέλεσαν καὶ ἐρώησαν καμάτοιο,
βάν ῥ' ἴμεν οἴκαδ' ἕκαστος· ἀτὰρ ξανθὴ Δημήτηρ
ἔνθα καθεζομένη μακάρων ἀπὸ νόσφιν ἁπάντων,
μίμνε πόθῳ μινύθουσα βαθυζώνοιο θυγατρός.
αἰνότατον δ' ἐνιαυτὸν ἐπὶ χθόνα πουλυβότειραν

281. αὐγῆς Ruhnkenius, cod. αὐτῆς.

ποίησ᾽ ἀνθρώποις καὶ κύντατον, οὐδέ τι γαῖα
σπέρμ᾽ ἀνίει· κρύπτεν γὰρ ἐϋστέφανος Δημήτηρ.
πολλὰ δὲ καμπύλ᾽ ἄροτρα μάτην βόες εἷλκον ἀρούραις·
πολλὸν δὲ κρῖ λευκὸν ἐτώσιον ἔμπεσε γαίῃ.
καί νύ κε πάμπαν ὄλεσσε γένος μερόπων ἀνθρώπων
λιμοῦ· ὑπ᾽ ἀργαλέης, γεράων τ᾽ ἐρικυδέα τιμὴν
καὶ θυσιῶν ἤμερσεν Ὀλύμπια δώματ᾽ ἔχοντας,
εἰ μὴ Ζεὺς ἐνόησεν ἑῷ τ᾽ ἐφράσσατο θυμῷ.
Ἶριν δὲ πρῶτον χρυσόπτερον ὦρσε καλέσσαι
Δήμητρ᾽ ἠΰκομον, πολυήρατον εἶδος ἔχουσαν.
ὣς ἔφαθ᾽· ἡ δὲ Ζηνὶ κελαινεφέϊ Κρονίωνι
πείθετο καὶ τὸ μεσηγὺ διέδραμεν ὦκα πόδεσσιν.
ἵκετο δὲ πτολίεθρον Ἐλευσῖνος θυοέσσης,
εὗρεν δ᾽ ἐν νηῷ Δημήτερα κυανόπεπλον,
καί μιν φωνήσασ᾽ ἔπεα πτερόεντα προςηύδα·
Δήμητερ, καλέει σε πατὴρ Ζεὺς ἄφθιτα εἰδὼς
ἐλθέμεναι μετὰ φῦλα θεῶν αἰειγενετάων.
ἀλλ᾽ ἴθι, μηδ᾽ ἀτέλεστον ἐμὸν ἔπος ἐκ Διὸς ἔστω.
Ὣς φάτο λισσομένη· τῆς δ᾽ οὐκ ἐπεπείθετο θυμός.
αὖτις ἔπειτα πατὴρ μάκαρας θεοὺς αἰὲν ἐόντας
πάντας ἐπιπροΐαλλεν· ἀμοιβηδὶς δὲ κιόντες
κίκλησκον καὶ πολλὰ δίδον περικαλλέα δῶρα,
τιμάς θ᾽, ἅς κεν ἕλοιτο μετ᾽ ἀθανάτοισιν ἑλέσθαι·
ἀλλ᾽ οὔτις πεῖσαι δύνατο φρένας ἠδὲ νόημα
θυμῷ χωομένης· στερεῶς δ᾽ ἠναίνετο μύθους.
οὐ μὲν γάρ ποτ᾽ ἔφασκε θυώδεος Οὐλύμποιο
πριν γ᾽ ἐπιβήσεσθαι, οὐ πρὶν γῆς καρπὸν ἀνήσειν,
πρὶν ἴδοι ὀφθαλμοῖσιν ἑὴν εὐώπιδα κούρην.
Αὐτὰρ ἐπεὶ τό γ᾽ ἄκουσε βαρύκτυπος εὐρύοπα [Ζεύς,

329. κεν ἕλοιτο Hermann, cod. κ᾽ ἐθέλοιτο.

εἰς Ἔρεβος πέμψε χρυσόρραπιν Ἀργειφόντην,
ὄφρ' Ἀΐδην μαλακοῖσι παραιφάμενος ἐπέεσσιν
ἁγνὴν Περσεφόνειαν ὑπὸ ζόφου ἠερόεντος
ἐς φάος ἐξαγάγοι μετὰ δαίμονας, ὄφρα ἑ μήτηρ
ὀφθαλμοῖσιν ἰδοῦσα μεταλλήξειε χόλοιο.
Ἑρμῆς δ' οὐκ ἀπίθησεν, ἄφαρ δ' ὑπὸ κεύθεα γαίης
ἐσσυμένως κατόρουσε, λιπὼν ἕδος Οὐλύμποιο.
τέτμε δέ τόν γε ἄνακτα δόμων ἔντοσθεν ἐόντα,
ἥμενον ἐν λεχέεσσι σὺν αἰδοίῃ παρακοίτι,
πολλ' ἀεκαζομένῃ μητρὸς πόθῳ· ἡ δ' ἔπ' ἄτλητον
ὀργισθεῖσα θεῶν μακάρων μηνίετο βουλῇ.
ἀγχοῦ δ' ἱστάμενος προσέφη κρατὺς Ἀργειφόντης.
Ἅιδη κυανοχαῖτα, καταφθιμένοισιν ἀνάσσων,
Ζεύς με πατὴρ ἤνωγεν ἀγαυὴν Περσεφόνειαν
ἐξαγαγεῖν Ἐρέβευσφι μετὰ σφέας, ὄφρα ἑ μήτηρ
ὀφθαλμοῖσιν ἰδοῦσα χόλου καὶ μήνιος αἰνῆς
ἀθανάτοις παύσειεν· ἐπεὶ μέγα μήδεται ἔργον,
φθῖσαι φῦλ' ἀμενηνὰ χαμαιγενέων ἀνθρώπων,
σπέρμ' ὑπὸ γῆς κρύπτουσα, καταφθινύθουσα δὲ τιμὰς
ἀθανάτων· ἡ δ' αἰνὸν ἔχει χόλον, οὐδὲ θεοῖσι
μίσγεται, ἀλλ' ἀπάνευθε θυώδεος ἔνδοθι νηοῦ
ἧσται, Ἐλευσῖνος κραναὸν πτολίεθρον ἔχουσα.
Ὣς φάτο· μείδησεν δὲ ἄναξ ἐνέρων Ἀϊδωνεὺς
ὀφρύσιν, οὐδ' ἀπίθησε Διὸς βασιλῆος ἐφετμῆς.
ἐσσυμένως δ' ἐκέλευσε δαίφρονι Περσεφονείῃ·
Ἔρχεο, Περσεφόνη, παρὰ μητέρα κυανόπεπλον,
ἤπιον ἐν στήθεσσι μένος καὶ θυμὸν ἔχουσα,
μηδέ τι δυσθύμαινε λίην περιώσιον ἄλλων.
οὔ τοι ἐν ἀθανάτοισιν ἀεικὴς ἔσσομ' ἀκοίτης,

345-346. Ex emendatione Matthiae; codex habet: ἠδ' ἐπ' ἀτλήτων ἔργοις θεῶν μακάρων μητίσετο βουλῇ.

αὐτοκασίγνητος πατρὸς Διός· ἔνθα δ' ἐοῦσα
δεσπόσσεις πάντων, ὁπόσα ζώει τε καὶ ἕρπει,
τιμὰς δὲ σχήσεισθα μετ' ἀθανάτοισι μεγίστας.
τῶν δ' ἀδικησάντων τίσις ἔσσεται ἤματα πάντα,
οἵ κεν μὴ θυσίαισι τεὸν μένος ἱλάσκωνται,
εὐαγέως ἔρδοντες, ἐναίσιμα δῶρα τελοῦντες.
Ὣς φάτο· γήθησεν δὲ περίφρων Περσεφόνεια,
καρπαλίμως δ' ἀνόρουσ' ὑπὸ χάρματος· αὐτὰρ ὅγ' Ἅιδης
ῥοιῆς κόκκον ἔδωκε φαγεῖν μελιηδέα, λάθρη
ἀμφὶ ἑ νωμήσας, ἵνα μὴ μένοι ἤματα πάντα·
αὖθι παρ' αἰδοίῃ Δημήτερι κυανοπέπλῳ.
ἵππους δὲ προπάροιθεν ὑπὸ χρυσέοισιν ὄχεσφιν
ἔντυεν ἀθανάτους πολυσημάντωρ Ἀϊδωνεύς.
ἡ δ' ὀχέων ἐπέβη, παρὰ δὲ κρατὺς Ἀργειφόντης
ἡνία καὶ μάστιγα λαβὼν μετὰ χερσὶ φίλῃσι
σεῦε διὲκ μεγάρων· τὼ δ' οὐκ ἄκοντε πετέσθην.
ῥίμφα δὲ μακρὰ κέλευθα διήνυσαν· οὐδὲ θάλασσα
οὔθ' ὕδωρ ποταμῶν οὔτ' ἄγκεα ποιήεντα
ἵππων ἀθανάτων οὔτ' ἄκριες ἔσχεθον ὁρμήν,
ἀλλ' ὑπὲρ αὐτάων βαθὺν ἠέρα τέμνον ἰόντες.
στῆσε δ' ἄγων, ὅθι μίμνεν ἐϋστέφανος Δημήτηρ,
νηοῖο προπάροιθε θυώδεος· ἡ δὲ ἰδοῦσα
ἤιξ', ἠΰτε μαινὰς ὄρος κάτα δάσκιον ὕλῃ.
Περσεφόνη δ' ἑτέρω * * * * * *
μητρὸς ἑῆς κατ * * * * * *
ἆλτο θέειν * * * * * * *
τῆδε * * * * * * * *
ἁ * * * * * * * *
* * * * * * * * *

372. Ἅιδης Schneidewin, cod. αὐτός.

τέκνον, μή ῥά τι μ * * * * *
βρώμης· ἐξαύδ * * * * * *
ὣς μὲν γάρ κε νέουσ * * * ὁ *
καὶ παρ' ἐμοὶ καὶ πατρὶ κελαινεφέϊ Κρονίωνι
ναιετάοις πάντεσσι τετιμένη ἀθανάτοισι·
εἰ δ' ἐπάσω, πάλιν αὖτις ἰοῦσ' ὑπὸ κεύθεσι γαίης
οἰκήσεις ὡρῶν τρίτατον μένος εἰς ἐνιαυτὸν,
τὰς δὲ δύω παρ' ἐμοί τε καὶ ἄλλοις ἀθανάτοισιν.
ὁππότε δ' ἄνθεσι γαῖ' εὐώδεσιν εἰαρινοῖσι
παντοδαποῖς θάλλει, τόθ' ὑπὸ ζόφου ἠερόεντος
αὖτις ἄνει μέγα θαῦμα θεοῖς θνητοῖς τ' ἀνθρώποις·

* * *

καὶ τίνι σ' ἐξαπάτησε δόλῳ κρατερὸς Πολυδέγμων;
Τὴν δ' αὖ Περσεφόνη περικαλλὴς ἀντίον ηὔδα.
Τοιγὰρ ἐγώ σοι, μῆτερ, ἐρῶ νημερτέα πάντα·
εὖτέ μοι Ἑρμῆς ἦλθ' ἐριούνιος ἄγγελος ὠκὺς
πὰρ πατέρος Κρονίδαο καὶ ἄλλων οὐρανιώνων,
ἐλθεῖν ἐξ' Ἐρέβευς, ἵνα μ' ὀφθαλμοῖσιν ἰδοῦσα
λήξαις ἀθανάτοισι χόλου καὶ μήνιος αἰνῆς,
αὐτίκ' ἐγὼν ἀνόρουσ' ὑπὸ χάρματος· αὐτὰρ ὃ λάθρῃ
ἔμβαλέ μοι ῥοιῆς κόκκον, μελιηδέ' ἐδωδὴν,
ἄκουσαν δὲ βίῃ με προσηνάγκασσε πάσασθαι.
ὡς δέ μ' ἀναρπάξας Κρονίδεω πυκινὴν διὰ μῆτιν
ᾤχετο, πατρὸς ἐμοῖο, φέρων ὑπὸ κεύθεα γαίης,
ἐξερέω, καὶ πάντα διΐξομαι, ὡς ἐρεείνεις.
ἡμεῖς μὲν μάλα πᾶσαι ἀν' ἱμερτὸν λειμῶνα,
Λευκίππη Φαινώ τε καὶ Ἠλέκτρη καὶ Ἰάνθη,
καὶ Μελίτη Ἰάχη τε Ῥοδεία τε Καλλιρόη τε,
Μηλόβοσίς τε Τύχη τε καὶ Ὠκυρόη καλυκῶπις,
Χρυσηΐς τ' Ἰάνειρά τ' Ἀκάστη τ' Ἀδμήτη τε,

καὶ Ῥοδόπη Πλουτώ τε καὶ ἱμερόεσσα Καλυψώ,
καὶ Στὺξ Οὐρανίη τε Γαλαξαύρη τ' ἐρατεινή,
παίζομεν ἠδ' ἄνθεα δρέπομεν χείρεσσ' ἐρόεντα,
μίγδα· κρόκον τ' ἀγανὸν καὶ ἀγαλλίδας ἠδ' ὑάκινθον,
καὶ ῥοδέας κάλυκας καὶ λείρια, θαῦμα ἰδέσθαι,
* νάρκισσόν θ', ὃν ἔφυσ', ὥσπερ κρόκον, εὐρεῖα χθών·
αὐτὰρ ἐγὼ δρεπόμην περὶ χάρματι· γαῖα δ' ἔνερθε
χώρησεν· τῇ δ' ἔκθορ' ἄναξ κρατερὸς Πολυδέγμων.
βῆ δὲ φέρ ν ὑπὸ γαῖαν ἐν ἅρμασι χρυσείοισι
πόλλ' ἀεκαζομένην· ἐβόησα δ' ἄρ' ὄρθια φωνῇ.
ταῦτά τοι ἀχνυμένη περ ἀληθέα πάντ' ἀγορεύω·
Ὣς τότε μὲν πρόπαν ἦμαρ ὁμόφρονα θυμὸν ἔχουσαι
πολλὰ μάλ' ἀλλήλων κραδίην καὶ θυμὸν ἴαινον
ἀμφαγαπαζόμεναι· ἀχέων δ' ἀπεπαύετο θυμός.
γηθοσύνας δ' ἐδέχοντο παρ' ἀλλήλων ἔδιδόν τε.
τῇσιν δ' ἐγγύθεν ἦλθ' Ἑκάτη λιπαροκρήδεμνος.
πολλὰ δ' ἄρ' ἀμφαγάπησε κόρην Δημήτερος ἁγνήν·
ἐκ τοῦ οἱ πρόπολος καὶ ὀπάων ἔπλετ' ἄνασσα.
ταῖς δὲ μετ' ἄγγελον ἧκε βαρύκτυπος εὐρύοπα Ζεὺς
Ῥείην ἠΰκομον, Δημήτερα κυανόπεπλον
ἀξέμεναι μετὰ φῦλα θεῶν, ὑπεδεκτο δὲ τιμὰς
δωσέμεν, ἅς κεν ἕλοιτο μετ' ἀθανάτοισι θεοῖσι.
νεῦσε δέ οἱ κούρην ἔτεος περιτελλομένοιο
τὴν τριτάτην μὲν μοῖραν ὑπὸ ζόφον ἠερόεντα,
τὰς δὲ δύω παρὰ μητρὶ καὶ ἄλλοις ἀθανάτοισιν.
ὣς ἔφατ'· οὐδ' ἀπίθησε θεα Διὸς ἀγγελιάων.
ἐσσυμένως δ' ἧιξε κατ' Οὐλύμποιο καρήνων,
εἰς δ' ἄρα Ῥάριον ἷξε, φερέσβιον οὖθαρ ἀρούρης
τὸ πρίν, ἀτὰρ τότε γ' οὔτι φερέσβιον, ἀλλὰ ἕκηλον

424. Παλλάς τ' ἐγρεμάχη καὶ Ἄρτεμις ἰοχέαιρα. 443. Δημήτερα Fonteinius, cod. ἣν μητέρα. 450. Ῥάριον Ruhnkenius, cod. ῥίον.

εἱστήκει πανάφυλλον· ἔκευθε δ' ἄρα κρῖ λευκὸν
μήδεσι Δήμητρος καλλισφύρου· αὐτὰρ ἔπειτα
μέλλεν ἄφαρ ταναοῖσι κομήσειν ἀσταχύεσσιν,
ἦρος ἀεξομένοιο, πέδῳ δ' ἄρα πίονες ὄγμοι
βρισέμεν ἀσταχύων, τὰ δ' ἐν ἐλλεδανοῖσι δεδέσθαι.
ἔνθ' ἐπέβη πρώτιστον ἀπ' αἰθέρος ἀτρυγέτοιο·
ἀσπασίως δ' ἴδον ἀλλήλας, κεχάρηντο δὲ θυμῷ.
τὴν δ' ὧδε προσέειπε Ῥέη λιπαροκρήδεμνος·
Δεῦρο τέκος, καλέει σε βαρύκτυπος εὐρύοπα Ζευς
ἐλθέμεναι μετὰ φῦλα θεῶν, ὑπέδεκτο δὲ τιμὰς
δωσέμεν, ἅς κεν ἕλοιο μετ' ἀθανάτοισι θεοῖσι.
νεῦσε δέ σοι κούρην ἔτεος περιτελλομένοιο
τὴν τριτάτην μὲν μοῖραν ὑπὸ ζόφον ἠερόεντα,
[τὰς δὲ δύω παρὰ σοί τε καὶ ἄλλοις] ἀθανάτοισιν.
ὥς τοι ὑπέστη ἔσεσθαι· ἑῷ δ' ἐπένευσε κάρητι.
ἀλλ' ἴθι, τέκνον ἐμόν, καὶ πείθεο, μηδέ τι λίην
ἀζηχὲς μενέαινε κελαινεφέϊ Κρονίωνι.
αἶψα δὲ καρπὸν ἄεξε φερέσβιον ἀνθρώποισι.
Ὣς ἔφατ'. οὐδ' ἀπίθησεν ἐϋστέφανος Δημήτηρ·
αἶψα δὲ καρπὸν ἀνῆκεν ἀρουράων ἐριβώλων.
πᾶσα δὲ φύλλοισίν τε καὶ ἄνθεσιν εὐρεῖα χθὼν
ἔβρισ'· ἡ δὲ κιοῦσα θεμιστοπόλοις βασιλεῦσιν
δεῖξε, Τριπτολέμῳ τε Διοκλεῖ τε πληξίππῳ,
Εὐμόλπου τε βίῃ Κελεῷ θ' ἡγήτορι λαῶν,
δρησμοσύνην θ' ἱερῶν, καὶ ἐπέφραδεν ὄργια πᾶσιν,
σεμνά, τά τ' οὔπως ἐστὶ παρεξέμεν, οὔτε πυθέσθαι,
οὔτ' ἀχέειν· μέγα γάρ τι θεῶν ἄγος ἰσχάνει αὐδήν.
ὄλβιος, ὃς τάδ' ὄπωπεν ἐπιχθονίων ἀνθρώπων·
ὃς δ' ἀτελὴς ἱερῶν, ὅς τ' ἄμμορος, οὔποθ' ὁμοίως

465. Verba [ ] inclusa supplevit Hermann. 474. Τριπτολέμῳ τε, Πολυξείνῳ τ', ἐπὶ τοῖς δὲ Διοκλεῖ.

αἶσαν ἔχει φθίμενός περ ὑπὸ ζόφῳ εὐρώεντι.
Αὐτὰρ ἐπειδὴ πάνθ' ὑπεθήκατο δῖα θεάων,
βάν ῥ' ἴμεν Οὔλυμπόνδε θεῶν μεθ' ὁμήγυριν ἄλλων.
ἔνθα δὲ ναιετάουσι παραὶ Διὶ τερπικεραύνῳ
σεμναί τ' αἰδοῖαί τε· μέγ' ὄλβιος, ὅν τιν' ἐκεῖναι
προφρονέως φίλωνται ἐπιχθονίων ἀνθρώπων.
αἶψα δέ οἱ πέμπουσιν ἐφέστιον ἐς μέγα δῶμα
Πλοῦτον, ὃς ἀνθρώποις ἄφενος θνητοῖσι δίδωσιν.
Ἀλλ' ἄγ' Ἐλευσῖνος θυοέσσης δῆμον ἔχουσαι,
καὶ Πάρον ἀμφιρύτην Ἄντρωνά τε πετρήεντα,
πότνια, ἀγλαόδωρ', ὡρηφόρε, Δηοῖ ἄνασσα,
αὐτὴ, καὶ κούρη περικαλλὴς Περσεφόνεια,
πρόφρονες ἀντ' ᾠδῆς βίοτον θυμήρε' ὀπάζειν.
αὐτὰρ ἐγω καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

115.

Plato

(* Athenis 428 — † 347 a. Chr.)

Phaedr. 250 BC (Hermann): κάλλος δὲ τότ' ἦν ἰδεῖν λαμπρόν, ὅτε σὺν εὐδαίμονι χορῷ μακαρίαν ὄψιν τε καὶ θέαν, ἑπόμενοι μετὰ μὲν Διὸς ἡμεῖς, ἄλλοι δὲ μετ' ἄλλου θεῶν, εἶδόν τε καὶ ἐτελοῦντο τῶν τελετῶν ἣν θέμις λέγειν μακαριωτάτην, ἣν ὠργιάζομεν ὁλόκληροι μὲν αὐτοὶ ὄντες καὶ ἀπαθεῖς κακῶν, ὅσα ἡμᾶς ἐν ὑστέρῳ χρόνῳ ὑπέμενεν, ὁλόκληρα δὲ καὶ ἁπλᾶ καὶ ἀτρεμῆ καὶ εὐδαίμονα φάσματα μυούμενοί τε καὶ ἐποπτεύοντες ἐν αὐγῇ καθαρᾷ, καθαροὶ ὄντες καὶ ἀσήμαντοι τούτου ὃ νῦν σῶμα περιφέροντες ὀνομάζομεν, ὀστρέου τρόπον δεδεσμευμένοι.

490. Ἀλλ' ἄγ' Ἐλευσ. Ruhnkenius, cod. Ἀλλὰ θελευσ.

116.

Apollodorus

(Saec. II a. Chr. vixit)

Fragm. 36. (C. et Th. Müller): Ἀθήνησι τὸν ἱεροφάντην, τῆς Κόρης ἐπικαλουμένης ἐπικρούειν τὸ καλούμενον ἠχεῖον.

117.

Varro

(* Reate 116 — † 27 a. Chr.)

in August. de civ. Dei 7, 20 (Dombart): In Cereris autem sacris praedicantur illa Eleusinia, quae apud Athenienses nobilissima fuerunt. De quibus iste nihil interpretatur, nisi quod adtinet ad frumentum quod Ceres invenit, et ad Proserpinam, quam rapiente Orco perdidit; et hanc ipsam dicit significare fecundatem seminum; quae cum defuisset quodam tempore eademque sterilitate terra maereret, exortam esse opinionem, quod filiam Cereris, id est ipsam fecunditatem, quae a proserpendo Proserpina dicta esset Orcus abstulerat et apud inferos detinuerat; quae res cum fuisset luctu publico celebrata, quia rursus eadem fecunditas rediit, Proserpina reddita exortam esse laetitiam et ex hoc sollemnia constituta. Dicit deinde multa in mysteriis eius tradi, quae nisi ad frugum inventionem non pertineant.

118.

Plutarchus

(*Chaeroneae in Boeotia c. 50 a. Chr. — † c. 125 p. Chr.)

in Stob. flor. 4, 107 (Meineke): οὕτως κατὰ τὴν εἰς τὸ ὅλον μεταβολὴν καὶ κατακόσμησιν ὀλωλέναι τὴν φυχὴν λέγομεν ἐκεῖ γεγονέναι, ἐνταῦθα δὲ ἀγνο-

εἶν, πλὴν ὅταν ἐν τῷ τελευτᾶν ἤδη γένηται· τότε δὲ πάσχει πάθος οἷον οἱ τελεταῖς μεγάλαις κατοργιαζόμενοι. διὸ καὶ τὸ ῥῆμα τῷ ῥήματι καὶ τὸ ἔργον τῷ ἔργῳ τοῦ τελευτᾶν καὶ τελεῖσθαι προσέοικε. πλάναι τὰ πρῶτα καὶ περιδρομαὶ κοπώδεις καὶ διὰ σκότους τινὲς ὕποπτοι πορεῖαι καὶ ἀτέλεστοι, εἶτα πρὸ τοῦ τέλους αὐτοῦ τὰ δεινὰ πάντα, φρίκη καὶ τρόμος καὶ ἱδρὼς καὶ θάμβος· ἐκ δὲ τούτου φῶς τι θαυμάσιον ἀπήντησε καὶ τόποι καθαροὶ καὶ λειμῶνες ἐδέξαντο, φωνὰς καὶ χορείας καὶ σεμνότητας ἀκουσμάτων ἱερῶν καὶ φασμάτων ἁγίων ἔχοντες. ἐν αἷς ὁ παντελὴς ἤδη καὶ μεμυημένος ἐλεύθερος γεγονὼς καὶ ἄφετος περιιὼν ἐστεφανωμένος ὀργιάζει, καὶ σύνεστιν ὁσίοις καὶ καθαροῖς ἀνδράσι, τὸν ἀμύητον ἐνταῦθα τῶν ζώντων ἀκάθαρτον ἐφορῶν ὄχλον ἐν βορβόρῳ πολλῷ καὶ ὁμίχλῃ πατούμενον ὑφ' ἑαυτοῦ καὶ συνελαυνόμενον, φόβῳ δὲ θανάτου τοῖς κακοῖς, ἀπιστίᾳ τῶν ἐκεῖ ἀγαθῶν, ἐμμένοντα.

119.

P. Papinius Statius

(* Neapoli aetate Domitiani imp. vixit)

Silv. 4, 8, 50-51 (Klotz):
tuque, Actaea Ceres, cursu cui semper anhelo
votivam taciti quassamus lampada mystae.

120.

Apuleius

(* Madaurae in Africa saec. II medio p. Chr. vixit).

Metam. 6, 2 (van der Vliet): per ego te frugiferam tuam dexteram istam deprecor, per laetificas messium caerimonias, per tacita secreta cistarum

et per famulorum tuorum draconum pinnata curricula, et glebae Siculae sulcamina et currum rapacem et terram tenacem et inluminarum Proserpinae nuptiarum demeacula et luminosarum filiae inventionum remeacula et caetera quae silentio tegit Eleusinis Atticae sacrarium.

121.

Aelius Aristides

(*Adriani in Mysia 129 p. Chr.)

Eleus. 256-257 (Dindorf): τίς γὰρ Ἑλλήνων ἢ τίς βαρβάρων οὕτω σκαιὸς ἢ ἀνήκοος ....ὅστις οὐ κοινόν τι τῆς γῆς τέμενος τὴν Ἐλευσῖνα ἡγεῖτο, καὶ πάντων ὅσα θεῖα ἀνθρώποις ταὐτὸν φρικωδέστατόν τε καὶ φαιδρότατον; τίνι δ' ἄλλῳ χωρίων ἢ μύθων φῆμαι θαυμαστότερα ἐφύμνησαν, ἢ τὰ δρώμενα μείζω ἔσχε τὴν ἔκπληξιν, ἢ μᾶλλον εἰς ἐφάμιλλον κατέστη ταῖς ἀκοαῖς τὰ ὁρώμενα; ὅσα μεν δὴ θέας ἐχόμενα εἶδον γενεαὶ παμπληθεῖς εὐδαιμόνων ἀνδρῶν καὶ γυναικῶν ἐν τοῖς ἀρρήτοις φάσμασιν·- ἃ δ' εἰς τὸ μέσον ποιηταὶ καὶ λογοποιοὶ καὶ συγγραφεῖς πάντες ὑμνοῦσι, κόρην τὴν Δήμητρος ἀφανῆ γενέσθαι χρόνον ἔστιν ὃν, Δήμητρα δ' ἐπέρχεσθαι γῆν πᾶσαν καὶ θάλατταν ζητοῦσαν τὴν θυγατέρα, τέως μὲν οὖν οὐχ οἵαν τε εἶναι εὑρεῖν, ἐλθοῦσαν δ' εἰς Ἐλευσῖνα τήν τε ἐπωνυμίαν δοῦναι τῷ τόπῳ καὶ τὴν κόρην εὑροῦσαν ποιῆσαι τὰ μυστήρια.

8. Subaudiri debet ἐστὶ 16. iuxta Dindorf deest ἐάσθω *sinatur, relictum esto,* in spectaculis silentio sacro tegendis. 22. nempe Ἐλευσίς dicta ab ἔλευσι seu adventu. cfr. Etym. M. s. v.

122.

Clemens Alexandrinus

(*Athenis (?) c. 150 — † c. 215 p. Chr.)

Protr. 2, 12 (Stählin): Δηὼ δὲ καὶ Κόρη δρᾶμα ἤδη ἐγενέσθην μυστικόν, καὶ τὴν πλάνην καὶ τὴν ἁρπαγὴν καὶ τὸ πένθος αὐταῖν Ἐλευσὶς δᾳδουχεῖ.

Protr. 2, 20 (Stählin): ἀλωμένη γὰρ ἡ Δηὼ κατὰ ζήτησιν τῆς θυγατρὸς τῆς Κόρης περὶ τὴν Ἐλευσῖνα (τῆς Ἀττικῆς δέ ἐστι τοῦτο τὸ χωρίον) ἀποκάμνει καὶ φρέατι ἐπικαθίζει λυπουμένη. τοῦτο τοῖς μυουμένοις ἀπαγορεύεται εἰσέτι νῦν, ἵνα μὴ δοκοῖεν οἱ τετελεσμένοι μιμεῖσθαι τὴν ὀδυρομένην. ᾤκουν δὲ τηνικάδε τὴν Ἐλευσῖνα οἱ γηγενεῖς· ὀνόματα αὐτοῖς Βαυβὼ καὶ Δυσαύλης καὶ Τριπτόλεμος, ἔτι δὲ Εὔμολπός τε καὶ Εὐβουλεύς· βουκόλος ὁ Τριπτόλεμος ἦν, ποιμὴν δὲ ὁ Εὔμολπος, συβώτης δὲ ὁ Εὐβουλεύς· ἀφ' ὧν τὸ Εὐμολπιδῶν καὶ τὸ Κηρύκων τὸ ἱεροφαντικὸν δὴ τοῦτο Ἀθήνησι γένος ἤνθησεν. καὶ δὴ (οὐ γὰρ ἀνήσω μὴ οὐχὶ εἰπεῖν) ξενίσασα ἡ Βαυβὼ τὴν Δηὼ ὀρέγει κυκεῶνα αὐτῇ· τῆς δὲ ἀναινομένης λαβεῖν καὶ πιεῖν οὐκ ἐθελούσης (πενθήρης γὰρ ἦν) περιαλγὴς ἡ Βαυβὼ γενομένη, ὡς ὑπεροραθεῖσα δῆθεν, ἀναστέλλεται τὰ αἰδοῖα καὶ ἐπιδεικνύει τῇ θεῷ· ἣ δὲ τέρπεται τῇ ὄψει ἡ Δηὼ καὶ μόλις ποτὲ δέχεται τὸ ποτόν, ἡσθεῖσα τῷ θεάματι. ταυτ' ἔστι τὰ κρύφια τῶν Ἀθηναίων μυστήρια. ταῦτά τοι καὶ Ὀρφεὺς ἀναγράφει. παραθήσομαι δέ σοι αὐτὰ τοῦ Ὀρφέως τὰ ἔπη ἵν' ἔχῃς μάρτυρα τῆς ἀναισχυντίας τὸν μυσταγωγόν·

14. [καὶ τὸ κηρύκων] Maass.

ὣς εἰποῦσα πέπλους ἀνεσύρετο, δεῖξε δὲ πάντα
σώματος οὐδὲ πρέποντα τύπον· παῖς δ' ἦεν Ἴακχος
χειρί τέ μιν ῥίπτασκε γελῶν Βαυβοῦς ὑπὸ κόλποις.
ἡ δ' ἐπεὶ οὖν μείδησε θεά, μείδησ' ἐνὶ θυμῷ,
δέξατο δ' αἰόλον ἄγγος, ἐν ᾧ κυκεὼν ἐνέκειτο.

κἄστι τὸ σύνθημα Ἐλευσινίων μυστηρίων· « ἐνήστευσα, ἔπιον τὸν κυκεῶνα, ἔλαβον ἐκ κίστης, ἐργασάμενος ἀπεθέμην εἰς κάλαθον καὶ ἐκ καλάθου εἰς κίστην ».

123.

Arnobius

(* Siccae in Africa, aetate Diocletiani imp. vixit)

adv. nat. 5, 24 (Reifferscheid): quodam, inquiunt tempore cum in Siciliae pratulis purpureos legeret nondum mulier flores et adhuc virago Proserpina cumque illam per floream messem huc atque illuc passim lectionis cupiditas avocaret, per profundae altitudinis speluncam rex prosiliens Manium raptam virginem secum vehit et terrarum absconditur successibus rursus. quod cum factum nesciret Ceres nec filia esset ubinam gentium suspicaretur, intendit animum perditam toto in orbe conquirere: sumit faces geminas flammis comprehensas Aetnaeis, quibus sibi praelucens pergit ire quaesitum terrarum in regionibus cunctis. in istius conquisitionis errore Eleusinios etiam pervehitur fines. pagi istud est nomen regione in Attica constituti. quinque illud temporis has partes incolebant terrigenae, quibus nomina haec fuerant: Baubo Triptolemus Eumolpus Eubuleus Dysaules: boum iugator Triptolemus, capellarum Dysaules custos, Eubuleus porcorum, graegis

8. ἐργασάμενος] ἐγγευσάμενος proposuit Lobeck.

lanitii Eumolpus, a quo gens ecfluit Eumolpidarum et ducitur clarum illud apud Cecropios nomen et qui postea floruerunt caduceatores, hierophantae atque praecones. igitur Baubo illa, quam incolam diximus Eleusinii fuisse pagi, malis multiformibus fatigatam accipit hospitio Cererem, adulatur obsequiis mitibus, reficiendi corporis rogat curam ut habeat, sitientis ardori oggerit potionem cinni, cyceonem quam nuncupat Graecia: aversatur et respuit humanitatis officia maerens dea nec eam fortuna perpetitur valetudinis meminisse. comis rogat illa atque hortatur contra, sicut mos est in huiusmodi casibus, ne fastidium suae humanitatis adsumat: obstinatissime durat Ceres et rigoris indomiti pertinaciam retinet. quod cum saepius fieret neque ullis quiret obsequiis ineluctabile propositum fatigari, vertit Baubo artes et quam serio non quibat allicere ludibriorum statuit exhilarare miraculis: partem illam corporis, per quam secus femineum et subolem prodere et nomen solet adquirere generi, tum longiore ab incuria liberat, facit sumere habitum puriorem et in speciem levigari nondum duri atque hystriculi pusionis. redit ad deam tristem et inter illa communia quibus moris est frangere ac temperare maerores retegit se ipsam atque omnia illa pudoris loca revelatis monstrat inguinibus. atque pubi adfigit oculos diva et inauditi specie solaminis pascitur: tum diffusior facta per risum aspernatam sumit atque ebibit potionem, et quod diu nequivit verecundia Baubonis exprimere propudiosi facinoris extorsit obscenitas. calumniari nos improbe si quis forte hominum suspicatur, libros sumat Threicii vatis, quos antiquitatis memoratis esse divinae, et inveniet nos nihil neque callide fingere neque quo sint risui deum quaerere atque efficere sanctitates. ipsos namque in medio ponemus versus, quos Calliopae filius ore edidit Graeco et cantando per saecula iuri publicavit humano:

sic effata simul vestem contraxit ab imo
obiecitque oculis formatas inguinibus res:
† quas cava succutiens | Baubo manu – nam puerilis
ollis vultus erat — plaudit, contrectat amice.
tum dea defigens augusti luminis orbes
tristitias animi paulum mollita reponit:
inde manu poclum sumit risuque sequenti
perducit totum cyceonis laeta liquorem.

quid Erechthidae o cati, quid cives Minervii dicitis? havet animus scire, quibus sitis eloquiis tam periculosa negotia defensuri, vel artibus habeatis quibus tam confossis salutem dare personis vel rebus atque causis. non est ita falsa subscriptio nec delatione adpetimini calumniosa. Eleusiniorum vestrorum notae sunt origines turpes: produnt et antiquarum elogia litterarum, ipsa denique symbola quae rogati sacrorum in acceptionibus respondetis: «ieiunavi atque ebibi cyceonem: ex cista sumpsi et in calathum misi: accepi rursus, in cistulam transtuli». ergone, ut promunt sancta illa atque arcana mysteria rapiuntur et rapiunt dii vestri, matrimonia copulant fraudibus adpetita furtivis, ab repugnantibus et invitis decus virginitatis eripitur, imminentes nesciuntur iniuriae, quidnam raptis acciderit ignoratur, amissa quaerunt ut homines et sub sole clarissimo cum lucernis et facibus orbis peragrant vastitatem? adficiuntur, aegrescunt, lugentium sumunt sordes et miseriarum insignia, atque ut animum commodare alimoniis possint victuique sumendo, non ratio, non tempus, non sermo aliquis adhibetur gravis aut adfabilitas seria, sed propudiosa corporum monstratur obscenitas obiectanturque partes illae quas pudor communis abscondere, quas naturalis lex iubet, quas inter aures castas sine venia nefas est ac sine honoribus appellare praefatis.

124.

Lactantius

(An. 325 p. Chr. obiit)

Div. inst. Ep. 18 (23) (Brandt): his (Isidis sacris) etiam Cereris simile mysterium est, in quo facibus accensis per noctem Proserpina inquiritur et ea inventa ritus omnis gratulatione et taedarum iactatione finitur.

VIII.

DE HIEROGAMIA IOVIS ET DEMETROS ET INITIATIONE GRADUS SUPERIORIS (ἐπόπτεια)

g) Die XXII Boedromionis (πλημοχόαι)

125.

Homerus

(Saec. IX (?) a. Chr. floruit)

Od. 5, 125-28. (Dindorf-Hentze):

ὡς δ' ὁπότ' Ἰασίωνι εὐπλόκαμος Δημήτηρ
ᾧ θυμῷ εἴξασα μίγη φιλότητι καὶ εὐνῇ
νειῷ ἔνι τριπόλῳ· οὐδὲ δὴν ἦεν ἄπυστος
Ζεὺς ὅς μιν κατέπεφνε βαλὼν ἀργῆτι κεραυνῷ.

126.

Hesiodus

(* Ascrae in Boeotia, saec. VIII exeunte a. Chr. vixit)

Theog. 969-71, (Rzach):

Δημήτηρ μὲν Πλοῦτον ἐγείνατο, δῖα θεάων,
Ἰασίων' ἥρωι μιγεῖσ' ἐρατῇ φιλότητι
νειῷ ἔνι τριπόλῳ, Κρήτης ἐν πίονι δήμῳ.

127.

Clemens Alexandrinus

(* Athenis (?) c. 150 — † c. 215 p. Chr.)

Protr. 2, 15 (Stählin): Δηοῦς δὲ μυστήρια [καὶ] Διὸς πρὸς μητέρα Δήμητρα ἀφροδίσιοι συμπλοκαὶ καὶ μῆνις (οὐκ οἶδ' ὅ τι φῶ λοιπόν, μητρὸς ἢ γυναικός) τῆς Δηοῦς, ἧς δὴ χάριν Βριμὼ προσαγορευθῆναι λέγεται, ⟨καὶ⟩ ἱκετηρίαι Διὸς καὶ πόμα χολῆς καὶ καρδιουλκίαι καὶ ἀρρητουργίαι.

128.

Tertullianus

(* Carthagine c. 160 — † post 220 p. Chr.)

Ad nat. 2, 7 (Reifferscheid et Wissowa): cur rapitur sacerdos Cereris, si non tale Ceres passa est?

129.

Hippolytus

(* Romae — † 235 p. Chr.)

Ref. omn. haer. 5, 7, 34 (Wendland): τοῦτο, φησίν, ἐστὶ τὸ μέγα καὶ ἄρρητον Ἐλευσινίων μυστήριον « ὕε, κύε ».

130.

Hippolytus

Ref. omn. haer. 5, 8, 39 (Wendland): λέγουσι δὲ αὐτόν, φησί, Φρύγες καὶ χλοηρὸν στάχυν τεθερισμένον, καὶ μετὰ τοὺς Φρύγας Ἀθηναῖοι μυοῦντες Ἐλευσίνια καὶ ἐπιδεικνύντες τοῖς ἐποπτεύουσι τὸ μέγα καὶ θαυμαστὸν καὶ τελειότατον

ἐποπτικὸν ἐκεῖ μυστήριον ἐν σιωπῇ, τεθερισμένον στάχυν. ὁ δὲ στάχυς οὗτός ἐστι καὶ παρὰ Ἀθηναίοις ὁ παρὰ τοῦ ἀχαρακτηρίστου φωστὴρ τέλειος μέγας, καθάπερ αὐτὸς ὁ ἱεροφάντης, οὐκ ἀποκεκομμένος μέν, ὡς ὁ Ἄττις, εὐνουχισμένος δὲ διὰ κωνείου καὶ πᾶσαν ἀπηρτημένος τὴν σαρκικὴν γένεσιν, νυκτὸς ἐν Ἐλευσῖνι ὑπὸ πολλῷ πυρὶ τελῶν τὰ μεγάλα καὶ ἄρρητα μυστήρια βοᾷ καὶ κέκραγε λέγων· «ἱερὸν ἔτεκε πότνια κοῦρον Βριμὼ Βριμόν», τουτέστιν ἰσχυρὰ ἰσχυρόν.

131.

Athenaeus

(* Naucrati in Aegypto saec. III p. Chr. floruit)

Deipn. 11, 93 (Kaibel): πλημοχόη σκεῦος κεραμεοῦν βεμβικῶδες ἑδραῖον ἡσυχῇ, ὃ κοτυλίσκον ἔνιοι προσαγορεύουσιν, ὥς φησι Πάμφιλος. χρῶνται δὲ αὐτῷ ἐν Ἐλευσῖνι τῇ τελευταίᾳ τῶν μυστηρίων ἡμέρα, ἣν καὶ ἀπ' αὐτοῦ προσαγορεύουσι πλημοχόας· ἐν ᾗ δύο πλημοχόας πληρώσαντες τὴν μὲν πρὸς ἀνατολάς, τὴν δὲ πρὸς δύσιν.... ἀνιστάμενοι ἀνατρέπουσίν τε ἐπιλέγοντες ῥῆσιν μυστικήν.

132.

Gregorius Nazianzenus

(* Nazianzi — † 390 p. Chr.)

Orat. 39, 4 (ed. Migne): οὐδὲ κόρη τις ἡμῖν ἁρπάζεται, καὶ Δημήτηρ πλανᾶται, και Κελεούς τινας ἐπεισάγει, καὶ Τριπτολέμους, καὶ δράκοντας, καὶ

6. ἀπηρτισμένος cod. P; παρῃτημένος Dunker et Schneidevin; ἀπηργμένος Plasberg. 9. βριμή P.

τὰ μὲν ποιεῖ, τὰ δὲ πάσχει. αἰσχύνομαι γὰρ ἡμέρᾳ δοῦναι τὴν νυκτὸς τελετὴν, καὶ ποιεῖν τὴν ἀσχημοσύνην μυστήριον. οἶδεν Ἐλευσὶς ταῦτα, καὶ οἱ τῶν σιωπωμένων, καὶ σιωπῆς ὄντως ἀξίων ἐπόπται.

133.

Asterius

(* Amaseae Ponti saec. IV p. Chr. exeunte vixit)

Hom. 10 in ss. martyres (ed. Migne): οὐ κεφάλαιον τῆς σῆς θρησκείας τὰ ἐν Ἐλευσῖνι μυστήρια, καὶ δῆμος Ἀττικὸς, καὶ ἡ Ἑλλὰς πᾶσα συναίρει, ἵνα τελέσῃ ματαιότητα; οὐκ ἐκεῖ τὸ καταβάσιον τὸ σκοτεινὸν, καὶ αἱ σεμναὶ τοῦ ἱεροφάντου πρὸς τὴν ἱέρειαν συντυχίαι, μόνου πρὸς μόνην; οὐχ αἱ λαμπάδες σβέννυνται, καὶ ὁ πολὺς καὶ ἀναρίθμητος δῆμος τὴν σωτηρίαν αὐτῶν εἶναι νομίζουσιν τὰ ἐν τῷ σκότῳ παρὰ τῶν δύο πραττόμενα;

134.

Proclus

(* Constantinopoli 410 — † 485 p. Chr.)

in Tim. 40 E (Diehl): ἐν τοῖς Ἐλευσινίοις ἱεροῖς εἰς μὲν τὸν οὐρανὸν ἀναβλέποντες ἐβόων « ὗε », καταβλέψαντες δὲ εἰς τὴν γῆν τὸ « κύε ».

135.

Scholia in Platonem

in Gorg. 497 c (Hermann): ἐτελεῖτο ταῦτα καὶ Δηοῖ καὶ Κόρῃ, ὅτι ταύτην μὲν Πλούτων ἁρπάξειε, Δηοῖ δέ μιγείη Ζεύς.

136.

Scholia in Aristidem

ad. p. 22: ἐλθοῦσα δὲ εἰς τὴν Ἀττικὴν καὶ παρὰ Κελεοῦ καὶ Τριπτολέμου τὸν ἡρπακηκότα μαθοῦσα, μισθὸν αὐτοῖς ἀποδίδωσι τῆς μηνύσεως τὸν σῖτον πρῶτον ἀθέσμως συγγενομένη Κελεῷ τῷ Τριπτολέμου πατρί.

IX.

DE SACRARIO ELEUSINIO

137.

Strabo

(* Amaseae Ponti c. 60 a. Chr. — † c. 25 p. Chr.)

Geogr. 9, 1, 12 (Meineke): εἶτ' Ἐλευσὶς πόλις, ἐν ᾗ τὸ τῆς Δήμητρος ἱερὸν τῆς Ἐλευσινίας καὶ ὁ μυστικὸς σηκός, ὃν κατεσκεύασεν Ἰκτῖνος ὄχλον θεάτρου δέξασθαι δυνάμενον, ὃς καὶ τὸν παρθενῶνα ἐποίησε τὸν ἐν ἀκροπόλει τῇ Ἀθηνᾷ, Περικλέους ἐπιστατοῦντος τῶν ἔργων· ἐν δὲ τοῖς δήμοις καταριθμεῖται ἡ πόλις.

138.

Vitruvius

(Aetate Augusti imp. vixit)

Arch. 7, 16-7 (Krohn): Eleusine Cereri et Proserpinae cellam inmani magnitudine Ictinos dorico more sine exterioribus columnis ad laxamentum usus sacrificiorum pertexit. eam autem postea, cum

Demetrius Phalereus Athenis rerum potiretur, Philo ante templum in fronte columnis constitutis prostylon fecit: ita aucto vestibulo, laxamentum initiantibus operique summam adiecit auctoritatem.

139.

Plutarchus

(* Chaeroneae in Boeotia c. 50 a. Chr. — † c. 125 p. Chr.)

Pericl. 13 (Sintenis): τὸ δ' ἐν Ἐλευσῖνι τελεστήριον ἤρξατο μὲν Κόροιβος οἰκοδομεῖν, καὶ τοὺς ἐπ' ἐδάφους κίονας ἔθηκεν οὗτος καὶ τοῖς ἐπιστυλίοις ἐπέζευξεν· ἀποθανόντος δὲ τούτου Μεταγένης ὁ Ξυπέτιος τὸ διάζωμα καὶ τοὺς ἄνω κίονας ἐπέστησε· τὸ δ' ὀπαῖον ἐπὶ τοῦ ἀνακτόρου Ξενοκλῆς ὁ Χολαργεύς ἐκορύφωσε·

140.

Plutarchus

de prof. in virt. 10 (Bernardakis): ὁ δ' ἐντὸς γενόμενος καὶ μέγα φῶς ἰδών, οἷον ἀνακτόρων ἀνοιγομένων.

141.

Pausanias

(Exeunte saec. II p. Chr. vixit)

Gr. descr. 1, 38, 6 (Spiro): Ἐλευσινίοις δὲ ἔστι μὲν Τριπτολέμου ναός, ἔστι δὲ Προπυλαίας Ἀρτέμιδος καὶ Ποσειδῶνος Πατρός, φρέαρ τε καλούμενον Καλλίχορον, ἔνθα πρῶτον Ἐλευσινίων αἱ γυναῖκες χορὸν ἔστησαν καὶ ᾖσαν ἐς τὴν θεόν. τό δὲ πεδίον

τὸ Ῥάριον σπαρῆναι πρῶτον λέγουσι καὶ πρῶτον αὐξῆσαι καρποὺς, καὶ διὰ τοῦτο οὐλαῖς ἐξ αὐτοῦ χρῆσθαί σφισι καὶ ποιεῖσθαι πέμματα ἐς τὰς θυσίας καθέστηκεν. ἐνταῦθα ἅλως καλουμένη Τριπτολέμου καὶ βωμὸς δείκνυται, τὰ δὲ ἐντὸς τοῦ τείχους τοῦ ἱεροῦ τό τε ὄνειρον ἀπεῖπε γράφειν, καὶ τοῖς οὐ τελεσθεῖσιν, ὁπόσων θέας εἴργονται, δῆλα δήπου μηδὲ πυθέσθαι μετεῖναί σφισιν.

142.

Photius

(* Constantinopoli c. 815 — † c. 898 p. Chr.)

Lex. (Naber) s. v. μάγαρον οὐ μέγαρον, εἰς ὃ τὰ μυστικὰ ἱερὰ κατατίθενται· οὕτω Μένανδρος.

143.

Hesychius

(* Alexandriae saec. X p. Chr. vixit)

Lex. (Schmidt) s. v. ἀνάκτορον· τὸ τῆς Δήτητρος· ὃ μέγαρον καλοῦσιν· ὅπου τὰ ἀνάκτορα τίθεται.

X.

DE SECRETO SERVANDO

144.

Andocides

(* Athenis c. 440 a. Chr.)

de myst. 29 (Blass): περὶ μὲν τῶν μυστηρίων, ὦ ἄνδρες, ὧν εἵνεκα ἡ ἔνδειξις ἐγένετο καὶ περὶ ὧν ὑμεῖς οἱ μεμυημένοι εἰσεληλύθατε, ἀποδέδεικταί μοι

ὡς οὔτε ἠσέβηκα οὔτε μεμήνυκα περὶ οὐδενὸς οὔτε ὡμολόγηκα περὶ αὐτῶν, οὐδὲ ἔστι μοι ἁμάρτημα περὶ τὼ θεὼ οὔτε μεῖζον οὔτ' ἔλαττον οὐδὲ ἕν. ὅπερ ἐμοὶ περὶ πλείστου ἐστὶν ὑμᾶς πεῖσαι.

145.

(Pseudo) Lysias

(Saec. V medio a. Chr. vixit)

in Andoc, 51 (Thalheim): οὗτος (Ἀνδοκίδης) γὰρ ἐνδὺς στολήν, μιμούμενος τὰ ἱερὰ ἐπεδείκνυ τοῖς ἀμυήτοις καὶ εἶπε τῇ φωνῇ τὰ ἀπόρρητα, τῶν δὲ θεῶν, οὓς ἡμεῖς [θεοὺς] νομίζομεν καὶ θεραπεύοντες καὶ ἁγνεύοντες θύομεν καὶ προσευχόμεθα, τούτους περιέκοψε, καὶ ἐπὶ τούτοις ἱέρειαι καὶ ἱερεῖς στάντες κατηράσαντο πρὸς ἑσπέραν καὶ φοινικίδας ἀνέσεισαν, κατὰ τὸ νόμιμον τὸ παλαιὸν καὶ αρχαῖον.

146.

Aristoteles

(* Stagirae 384 — † 322 a. Chr.)

Eth. Nic. 3, 2, 17 (Susemihl): ὃ δὲ πράττει ἀγνοήσειεν ἄν τις, οἷον λέγοντές φασιν ἐκπεσεῖν αὐτούς, ἢ οὐκ εἰδέναι ὅτι ἀπόρρητα ἦν, ὥσπερ Αἰσχύλος τὰ μυστικά, ἢ δεῖξαι βουλόμενος ἀφεῖναι, ὡς ὁ τὸν καταπέλτην.

3. οὐδὲ ἕν] cod. Crippsianus οὐδέν. 6. ἐπείδεκνυε Schoell 8. [ ] delevit Dobr. 11. De Hermarum mutilatione agitur.

147.

Plutarchus

(* Chaeroneae in Boeotia c. 50 a. Chr. — † c. 125 p. Chr.)

Alcib. 22 (Sintenis): τὴν μὲν οὖν εἰσαγγελίαν οὕτως ἔχουσαν ἀναγράφουσι. « Θεσσαλὸς Κίμωνος Λακιάδης Ἀλκιβιάδην Κλεινίου Σκαμβωνίδην εἰσήγγειλεν ἀδικεῖν περὶ τὼ θεώ, τὴν Δήμητραν καὶ τὴν Κόρην, ἀπομιμούμενον τὰ μυστήρια καὶ δεικνύοντα τοῖς αὑτοῦ ἑταίροις ἐν τῇ οἰκίᾳ τῇ ἑαυτοῦ, ἔχοντα στολὴν οἵανπερ ἱεροφάντης ἔχων δεικνύει τὰ ἱερά, καὶ ὀνομάζοντα αὑτὸν μὲν ἱεροφάντην, Πουλυτίωνα δὲ δᾳδοῦχον, κήρυκα δὲ Θεόδωρον Φηγαιᾶ, τοὺς δ' ἄλλους ἑταίρους μύστας προσαγορεύοντα καὶ ἐπόπτας παρὰ τὰ νόμιμα καὶ τὰ καθεστηκότα ὑπό τε Εὐμολπιδῶν καὶ Κηρύκων καὶ τῶν ἱερέων τῶν ἐξ Ἐλευσῖνος ».

148.

Macrobius

(Ineunte saec. V p. Chr. aetate Theodosii II imp. vixit)

in somm. Scip. 1, 2, 18-19 (Eyssenhardt): sic ipsa mysteria figurarum cuniculis operiuntur ne vel haec adeptis nudam rerum talium se natura praebeat sed summatibus tantum viris sapientia interprete veri arcani consciis contenti sint reliqui ad venerationem figuris defendentibus a vilitate secretum. Numenio denique inter philosophos occultorum curiosiori offensam numinum, quod Eleusinia sacra interpretando vulgaverit, somnia prodiderunt viso sibi ipsas Eleusinias deas habitu meretricio ante apertum lupanar videre prostantes, admirantique et

causas non convenientis numinibus turpitudinis consulenti respondisse iratas ab ipso se de adyto pudicitiae suae vi abstractas et passim adeuntibus prostitutas.

149.

Scholia in Aristophanem

(Exeunte hellenistica aetate scripta sunt)

in Aves, 1073 (Duebner): Διαγόραν τὸν Μήλιον: οὗτος μετὰ τὴν ἅλωσιν Μήλου ᾤκει ἐν Ἀθήναις, τὰ δὲ μυστήρια ηὐτέλιζεν, ὡς πολλοὺς ἐκτρέπειν τῆς τελετῆς. τοῦτο οὖν ἐκήρυξαν κατ' αὐτοῦ Ἀθηναῖοι καὶ ἐν χαλκῇ στήλῃ ἔγραψαν, ὥς φησι Μελάνθιος ἐν τῷ περὶ μυστηρίων.

XI.

DE INITIATORUM BEATA SPE

150.

Hymnus in Demetran

(Exeunte saec. VII a. Chr. scriptus est)

vv. 485-489, quos videas p. 80

151.

Pindarus

(* Cynocephalis in Boeotia 521 — † 441 a. Chr.)

Fragm. 137 (Schroeder):

ὄλβιος ὅστις ἰδὼν κεῖν'
εἶς' ὑπὸ χθόν'·
οἶδε μὲν βίου τελευτάν
οἶδεν δὲ διόσδοτον ἀρχάν.

151. Fragm. ex Clem. Alex. *Strom.* 3, 518 desumptum, ubi de myst. Eleusiniis agitur.

152.

Sophocles

(* Colone prope Athenas 497 — † 406 a. Chr.)

Fragm. 753 (Nauck):

....ὡς τρὶς ὄλβιοι
κεῖνοι βροτῶν, οἳ ταῦτα δερχθέντες τέλη
μόλωσ' ἐς Ἅιδου· τοῖσδε γὰρ μόνους ἐκεῖ
ζῆν ἔστι, τοῖς δ' ἄλλοισι πάντ' ἐκεῖ κακά.

153.

Isocrates

(* Athenis 436 — † 338 a. Chr.)

Paneg. 28, quem videas p. 58, ll. 16-19.

154.

Cicero

(* Arpini 106 — † 43 a. Chr.)

de leg. 2, 14, 36 (C. F. W. Mueller): mihi quom multa eximia divinaque videntur Athenae tuae peperisse atque in vita hominum attulisse, tum nihil melius illis mysteriis quibus ex agresti immanique vita exculti ad humanitatem et mitigati sumus, initiaque ut appellantur, ita revera principia vitae cognovimus; neque solum cum laetitia vivendi rationem accepimus sed etiam cum spe meliore moriendi.

152. Fragm. fab. incertae (Triptolemi?) a Plutarcho, *de audiendo*, *4*, servatum.

155.

Aelius Aristides

(* Adriani in Mysia 129 p. Chr.)

Eleus. I, p. 421 (Dindorf): τὸ δὲ δὴ μέγιστον καὶ θειότανον μόνην γὰρ ταύτην πανηγύρεων εἷς οἶκος συλλαβὼν εἶχε, καὶ ταυτὸν ἦν τῆς τε πόλεως πλήρωμα καὶ τοῦ Ἐλευσινίου. πλάσματα τοίνυν καὶ γραφὰς καὶ τὸν κύκλῳ κόσμον τοῦτον τίς ἂν οὐχὶ καὶ ἐν ταῖς τριόδοις ὁρῶν ἐγανώθη, μή τί γε δὴ ἐν προσθήκῃ μῶν σεμνοτέρων εἶδεν; ἀλλὰ μὴν τό γε κέρδος τῆς πανηγύρεως οὐχ ὅσον ἡ παροῦσα εὐθυμία οὐδ' αἱ τῶν ἐκ τοῦ πρότερον χρόνου δυσκολιῶν λύσεις καὶ ἀπαλλαγαί, ἀλλὰ καὶ περὶ τῆς τελευτῆς ἡδίους ἔχειν τὰς ἐλπίδας ὡς ἄμεινον διάξοντας, καί οὐχ ἐν σκότῳ τε καὶ βορβόρῳ κεισομένους, ἃ δὴ τοὺς ἀμυήτους αναμένειν.

III

DE MYSTERIIS SAMOTHRACIAE

I.

DE CABIRIS MAGNIS DEIS

156.

Herodotus

(* Halicarnassi c. 480 — † c. 426 a. Chr.)

Hist. 2, 51 (Dietsch-Kallenberg): ὅστις δὲ τὰ Καβείρων ὄργια μεμύηται, τὰ Σαμοθρήικες ἐπιτελέουσι παραλαβόντες παρὰ Πελασγῶν, οὗτος ὡνὴρ οἶδε τὸ λέγω. τὴν γὰρ Σαμοθρηίκην οἴκεον πρότερον Πελασγοὶ οὗτοι οἵ περ Ἀθηναίοισι σύνοικοι ἐγένοντο, καὶ παρὰ τούτων Σαμοθρήικες τὰ ὄργια παραλαμβάνουσι. ὀρθὰ ὦν ἔχειν τὰ αἰδοῖα τἀγάλματα τοῦ Ἑρμέω Ἀθηναῖοι πρῶτοι Ἑλλήνων μαθόντες παρὰ Πελασγῶν ἐποιήσαντο. οἱ δὲ Πελασγοὶ ἱρόν τινα λόγον περὶ αὐτοῦ ἔλεξαν, τὰ ἐν τοῖσι ἐν Σαμοθρηίκῃ μυστηρίοισι δεδήλωται.

157.

Accius

(* 170 aetate Scipionum vixit)

Philoct. fragm. 2,525 (Ribbeck):

.... Lemnia praesto
litora rara, et celsa Cabirum
delubra tenes, misteria quae
pristina castis concepta sacris

13. litora rara: *olitor ararat* codd.; rara: *clara* Bergk; *grata* Bücheler 14. tenes: *tues* Bergk. 15. castis concepta: *castris concepta* codd. *ustis consepta* Bergk.

* * *

Volcania iam templa sub ipsis
collibus, in quos delatus locos
dicitur alto ab limine caeli

* * *

Nemus expirante vapore vides,
unde ignis cluet mortalibus clam
divisus: eum dictus Prometheus
clepsisse dolo poenasque Iovi
fato expendisse supremo.

158.

Varro

(* Reate 116 — † 27 a. Chr.)

de lingua lat. 5,58 (C. O. Müller): Terra enim et Caelum ut Samothracum initia docent, sunt Dei Magni et hi quos dixi multis nominibus. (Non quas Samothracia ante portas statuit duas viriles species aeneas, Dei Magni; neque, ut volgus putat, ii Samothraces Dei qui Castor et Pollux; sed ii mas et femina). Et hi quos augurum libri scriptos habent sic: Divi qui potes, pro illo quod Samothraces θεοὶ δυνατοί.

159.

Varro

de lingua lat. 7,34 (C. O. Müller): hinc Casmilus nominatur Samothrace mysteriis dius quidam administer Diis Magnis.

4 Nemus: *Menius* Guelf. *Nevius* Lips. 5, cluet: *clavet* Flor et al.; *elucet* Pith. 6. divisus: eum dictus: *divis semen doctus* Bücheler. 8. Fato: *furti* Bentley.

160.
Strabo
(* Amaseae Ponti c. 60 a. Chr. — † c. 25 p. Chr.)

Geogr. 10, 3, 21 (Meineke): Ἀκουσίλαος δ' ὁ Ἀργεῖος ἐκ Καβειροῦς καὶ Ἡφαίστου Κάμιλλον λέγει, τοῦ δὲ τρεῖς Καβείρους, οἷς νύμφας Καβειρίδας. Φερεκύδης δ' ἐξ Ἀπόλλωνος καί Ῥητίας Κύρβαντας ἐννέα, οἰκῆσαι δ' αὐτοὺς ἐν Σαμοθράκῃ· ἐκ δὲ Καβειροῦς τῆς Πρωτέως καὶ Ἡφαίστου Καβείρους τρεῖς καὶ νύμφας τρεῖς Καβειρίδας, ἑκατέροις δ' ἱερὰ γίνεσθαι· μάλιστα μὲν οὖν ἐν Ἴμβρῳ καὶ Λήμνῳ τοὺς Καβείρους τιμᾶσθαι συμβέβηκεν, ἀλλὰ καὶ ἐν Τροίᾳ κατὰ πόλεις· τὰ δ' ὀνόματα αὐτῶν ἐστι μυστικά.

161.
Pausanias
(Exeunte saec. II p. Chr. vixit)

Gr. descr. 9. 25, 5-9. (Spiro): 5. σταδίους δὲ αὐτόθεν πέντε προελθόντι καὶ εἴκοσι Δήμητρος Καβειραίας καὶ Κόρης ἐστὶν ἄλσος· ἐσελθεῖν δὲ τοῖς τελεσθεῖσίν ἔστι. τούτου δὲ τοῦ ἄλσους ἑπτά που σταδίους τῶν Καβείρων τὸ ἱερὸν ἀφέστηκεν. οἵτινες δέ εἰσιν οἱ Κάβειροι καὶ ὁποῖά ἐστιν αὐτοῖς καὶ τῇ Μητρὶ τὰ δρώμενα, σιωπὴν ἄγοντι ὑπὲρ αὐτῶν συγγνώμη παρὰ ἀνδρῶν φιληκόων ἔστω μοι. 6. τοσοῦτο δὲ δηλῶσαί με καὶ ἐς ἅπαντας ἐκώλυσεν οὐδέν, ἥντινα λέγουσιν ἀρχὴν οἱ Θηβαῖοι γενέσθαι τοῖς δρωμένοις. πόλιν γάρ ποτε ἐν τούτῳ φασὶν εἶναι τῷ χωρίῳ καὶ ἄνδρας ὀνομαζομένους Καβείρους, Προμηθεῖ δὲ ἑνὶ τῶν Καβείρων καὶ Αἰτναίῳ τῷ Προμηθέως ἀφικομένην Δήμητρα ἐς γνῶσιν παρα-

καταθέσθαι σφίσιν· ἥτις μὲν δὴ ἦν ἡ παρακαταθήκη, καὶ τὰ ἐς αὐτὴν γενόμενα, οὐκ ἐφαίνετο ὅσιόν μοι γράφειν, Δήμητρος δ' οὖν Καβειραίοις δῶρόν ἐστιν ἡ τελετή. 7. κατὰ δὲ τὴν Ἐπιγόνων στρατείαν καὶ ἅλωσιν τῶν Θηβῶν ἀνέστησαν μὲν ὑπὸ τῶν Ἀργείων οἱ Καβειραῖοι, ἐξελείφθη δὲ ἐπὶ χρόνον τινὰ καὶ ἡ τελετή. Πελαργὴν δὲ ὕστερον τὴν Ποτνιέως καὶ Ἰσθμιάδην Πελαργῇ συνοικοῦντα καταστήσασθαι μὲν τὰ ὄργια αὐτοῦ λέγουσιν ἐξ ἀρχῆς, μετενεγκεῖν δὲ αὐτὰ ἐπὶ τὸν Ἀλεξιάρουν καλούμενον· 8. ὅτι δὲ τῶν ὅρων ἐκτὸς ἐμύησεν ἡ Πελαργὴ τῶν ἀρχαίων, Τηλώνδης καὶ ὅσοι γένους Καβειριτῶν ἐλείποντο, κατῆλθον αὖθις ἐς τὴν Καβειραίαν. Πελαργῇ μὲν δὴ κατὰ μάντευμα ἐκ Δωδώνης καὶ ἄλλα ἔμελλεν ἐς τιμὴν καταστήσασθαι καὶ ἡ θυσία, φέρον ἐν τῇ γαστρὶ ἱερεῖον. τὸ δὲ μήνιμα τὸ ἐκ τῶν Καβείρων ἀπαραίτητόν ἐστιν ἀνθρώποις, ὡς ἐπέδειξε δὴ πολλαχῇ. 9. τὰ γὰρ δὴ δρώμενα ἐν Θήβαις ἐτόλμησαν ἐν Ναυπάκτῳ κατὰ ταὐτὰ ἰδιῶται δρᾶσαι, καὶ σφᾶς οὐ μεκὰ πολὺ ἐπέλαβεν ἡ δίκη. ὅσοι δὲ ὁμοῦ Μαρδονίῳ τῆς στρατιᾶς τῆς Ξέρξου περὶ Βοιωτίαν ἐλείφθησαν, τοῖς παρελθοῦσιν αὐτῶν εἰς τὸ ἱερὸν τῶν Καβείρων, τάχα μέν που καὶ χρημάτων μεγάλων ἐλπίδι, τὸ πλέον δὲ ἐμοὶ δοκεῖν τῇ ἐς τὸ θεῖον ὀλιγωρία, τούτοις παραφρονῆσαί τε συνέπεσεν αὐτίκα, καὶ ἀπώλοντο ἐς θάλασσάν τε καὶ ἀπὸ τῶν κρημνῶν ἑαυτοὺς ῥίπτοντες. 10. Ἀλεξάνδρου δὲ, ὡς ἐνίκησε τῇ μάχῃ, Θήβας τε αὐτὰς καὶ σύμπασαν τὴν Θηβαΐδα διδόντος πυρί, ἄνδρες τῶν ἐκ Μακεδονίας ἐλθόντες ἐς τῶν Καβείρων τὸ ἱερὸν ἅτε ἐν γῇ τῇ πολεμίᾳ κεραυνοῖς τε ἐξ οὐρανοῦ καὶ ἀστραπαῖς ἐφθάρησαν.

162.

Eusebius

(* Caesareae in Palaest. c. 265 — † c. 340 p. Chr.)

Praep. evang. 1, 10, 14 (Dindorf): ἐκ δὲ τοὺ Συδὺκ (γεγόνασιν) Διόσκουροι, ἢ Κάβειροι, ἢ Κορύβαντες, ἢ Σαμοθρᾷκες. οὗτοι (φησὶ) πρῶτοι πλοῖον εὗρον.

1, 10, 38: ταῦτα δε (φησὶ) πρῶτοι πάντων ὑπεμνηματίσαντο οἱ ἑπτὰ Συδὲκ παῖδες Κάβειροι, καὶ ὁ ἴδιος αὐτῶν ἀδελφὸς Ἀσκληπιός, ὡς αὐτοῖς ἐνετείλατο θεὸς Ταυθός.

163.

Scholia in Apollonium Rhodium

in Arg. 1, 917 (Keil): μυοῦνται δὲ ἐν τῇ Σαμοθρᾴκῃ τοῖς Καβείροις, ὡς Μνασέας φησί. καὶ τὰ ὀνόματα αὐτῶν δ̄ τὸν ἀριθμόν, Ἀξίερος Ἀξιοκέρσα Ἀξιόκερσος. Ἀξίερος μὲν οὖν ἐστιν ἡ Δημήτηρ, Ἀξιοκέρσα δὲ ἡ Περσεφόνη, Ἀξιόκερσος δὲ ὁ Ἅιδης. ὁ δὲ προστιθέμενος τέταρτος Κάσμιλος ὁ Ἑρμῆς ἐστιν, ὡς ἱστορεῖ Διονυσόδωρος.

164.

Hesychius

(* Alexandriae saec. X p. Chr. vixit)

Lex. (M. Schmidt) s. v. Κάβειροι. καρκίνοι· πάνυ δε τιμῶνται οὗτοι ἐν Λήμνῳ ὡς θεοί· λέγονται δὲ εἶναι Ἡφαίστου παῖδες.

II.

DE CABIRORUM MYTHIS

165.

Varro

(Reate 116 — † 27 a. Chr.)

in Macr. Sat. 3, 4, 7-9 (Eyssenhardt): Varro Humanarum secundo Dardanum refert deos Penates ex Samothrace in Phrygiam, et Aeneam ex Phrygia in Italiam detulisse. qui sint autem di Penates in libro quidem memorato Varro non exprimit: sed qui diligentius eruunt veritatem Penates esse dixerunt per quos penitus spiramus, per quos habemus corpus, per quos rationem animi possidemus: esse autem medium aethera Iovem, Iunonem vero imum aera cum terra et Minervam summum aetheris cacumen: et argumento utuntur quod Tarquinius, Demarati Corinthii filius, Samothracicis religionibus mystice imbutus, uno templo ac sub eodem tecto numina memorata coniunxit.

Cassius vero Hemina dicit Samothracas deos eosdemque Romanorum Penates proprie dici θεοὺς μεγάλους, θεοὺς χρηστούς, θεοὺς δυνατούς.

166.

Dionysius

(* Halicarnassi, aetate Augusti imp. vixit)

Ant. Rom. 1, 68 (Kiessling): Χρύσην τὴν Πάλλαντος θυγατέρα γημαμένην Δαρδάνῳ φερνὰς ἐπενέγκασθαι δωρεὰς Ἀθηνᾶς τά τε Παλλάδια καὶ τὰ

165. Cfr. Serv. Aen. 1,378 qui fere ad litteram eadem Varronis verba habet.

ἱερὰ τῶν μεγάλων θεῶν, διδαχθεῖσαν αὐτῶν τὰς τελετάς. ἐπειδὴ δὲ τὴν ἐπομβρίαν φεύγοντες Ἀρκάδες Πελοπόννησον μὲν ἐξέλιπον, ἐν δὲ τῇ Θρᾳκίᾳ νήσῳ τοὺς βίους ἱδρύσαντο, κατασκευάσαι τὸν Δάρδανον ἐνταῦθα τῶν θεῶν τούτων ἱερὸν ἀρρήτους τοῖς ἄλλοις ποιοῦντα τὰς ἰδίους αὐτῶν ὀνομασίας καὶ τὰς τελετὰς αὐτοῖς τὰς καὶ εἰς τόδε χρόνου γινομένας ὑπὸ Σαμοθρᾴκων, ἐπιτελεῖν. ὡς δὲ μετῆγε τοῦ λεὼ τὴν πλείω μοῖραν εἰς τὴν Ἀσίαν, τὰ μὲν ἱερὰ τῶν θεῶν καὶ τὰς τελετὰς τοῖς ὑπομείνασιν ἐν τῇ νήσῳ καταλιπεῖν· τὰ δὲ Παλλάδια καὶ τὰς θεῶν εἰκόνας κατασκευασάμενον ἀγαγέσθαι μετ' αὐτοῦ.

167.

Diodorus Siculus

(* Agyrii c. 90 a. Chr. — † aetate Augusti imp.)

Biblioth. hist. 5, 48 (Vogel): οὕτω δ' αὐτῶν πεπολιτευομένων λέγουσι παρ' αὐτοῖς ἐκ Διὸς καὶ μιᾶς τῶν Ἀτλαντίδων Ἠλέκτρας γενέσθαι Δάρδανόν τε καὶ Ἰασίωνα καὶ Ἁρμονίαν. ὧν τὸν μὲν Δάρδανον μεγαλεπίβολον γενόμενον, καὶ πρῶτον εἰς τὴν Ἀσίαν ἐπὶ σχεδίας διαπεραιωθέντα, τὸ μὲν πρῶτον κτίσαι Δάρδανον πόλιν καὶ τὸ βασίλειον τὸ περὶ τὴν ὕστερον κληθεῖσαν Τροίαν συστήσασθαι, καὶ τοὺς λαοὺς ἀφ' ἑαυτοῦ Δαρδάνους ὀνομάσαι. Ἐπάρξαι δ' αὐτόν φασι καὶ πολλῶν ἐθνῶν κατὰ τὴν Ἀσίαν, καὶ τοὺς ὑπὲρ Θρᾴκης Δαρδάνους κατοικίσαι. Τὸν δὲ Δία βουληθέντα καὶ τὸν ἕτερον τῶν υἱῶν τιμῆς τυχεῖν, παραδεῖξαι αὐτῷ τὴν τῶν μυστηρίων τελετήν, πάλαι μὲν οὖσαν ἐν τῇ νήσῳ, τότε δέ πως παραδοθεῖσαν, ὧν οὐ θέμις ἀκοῦσαι πλὴν τῶν μεμυημένων.

δοκεῖ δ' οὗτος πρῶτος ξένους μυῆσαι καὶ τὴν τελετὴν διὰ τοῦτο ἔνδοξον ποιῆσαι. μετὰ δὲ ταῦτα Κάδμον τὸν Ἀγήνορος κατὰ ζήτησιν τῆς Εὐρώπης ἀφικέσθαι πρὸς αὐτούς, καὶ τῆς τελετῆς μετασχόντα, γῆμαι τὴν ἀδελφὴν τοῦ Ἰασίωνος Ἁρμονίαν, οὐ καθάπερ Ἕλληνες μυθολογοῦσι, τὴν Ἄρεως.

168.
Athenaeus
(* Naucrati, ineunte saec. III p. Chr. vixit)

Deipn. 10, 428F (Kaibel): ἐν γὰρ τοῖς Καβείροις εἰσάγει (Αἰσχύλος) τοὺς περὶ τὸν Ἰάσονα μεθύοντας.

169.
Scholia in Theocritum

in Idyll. 3, 50 (Dübner): Ἰασίωνα: Ἱστορία. Ἰασίων ὁ Κρής, Κρήτης βασιλεύς, υἱὸς ἦν Μίνωος καὶ Φρονίας νύμφης. τούτῳ ἐν λειμῶνι κοιμωμένῳ ἡ Δημήτηρ συνῆλθε, καὶ ἔτεκε τὸν Πλοῦτον.

III.
DE CABIRORUM SACRIS

170.
Plutarchus
(* Chaeroneae in Boeotia c. 50 a. Chr. — † c. 125 p. Chr.)

Apopht. lac. 217D (Bernardakis): Ἀνταλκίδας, ἐν Σαμοθρᾴκῃ μυούμενος, ἐρωτηθεὶς ὑπὸ τοῦ ἱερέως τί δεινότερον δέδρακεν ἐν τῷ βίῳ, « εἴ τί μοι πέπρακται τοιοῦτον, εἴσονται » εἶπεν « αὐτοὶ οἱ θεοί ».

171.

Plutarchus

Apopht. lac. 229D (Bernardakis): (Λυσάνδρῳ) ἐν δὲ Σαμοθρᾴκῃ χρηστηριαζομένῳ αὐτῷ ὁ ἱερεὺς ἐκέλευσεν εἰπεῖν, ὅτι ἀνομώτατον ἔργον αὐτῷ ἐν τῷ βιῷ πέπρακται. ἐπηρώτησεν οὖν « πότερον σοῦ τοῦτο κελεύοντος ἢ τῶν θεῶν τοῦτο δεῖ ποιεῖν »; φαμένου δέ « τῶν θεῶν » « σὺ τοίνυν » ἔφη « ἐκποδών μοι κατάστηθι, κἀκείνοις ἐρῶ, ἐὰν πυνθάνωνται ».

172.

Aelius Aristides

(* Adriani in Mysia 129 p. Chr.)

Panathen. p. 308 (Dindorf): Σαμοθρᾷκες ἀγάλλονται τοῖς ἱεροῖς, καὶ ταῦτα πάντων ὀνομαστότατά ἐστι, πλὴν τῶν Ἐλευσινίων·

173.

Clemens Alexandrinus

(* Athenis (?) c. 150 — † c. 215 p. Chr.)

Protr. 2. 19, 1 (Stählin): εἰ θέλεις δ' ἐποπτεῦσαι καὶ Κορυβάντων ὄργια, τὸν τρίτον ἀδελφὸν ἀποκτείναντες οὗτοι τὴν κεφαλὴν τοῦ νεκροῦ φοινικίδι ἐπεκαλυψάτην καὶ καταστέψαντε ἐθαψάτην, φέροντες ἐπὶ χαλκῆς ἀσπίδος ὑπὸ τὰς ὑπωρείας τοῦ Ὀλύμπου. καὶ ταῦτ' ἔστι τὰ μυστήρια, συνελόντι φάναι, φόνοι καὶ τάφοι· οἱ δὲ ἱερεῖς οἱ τῶνδε, οὓς Ἀνακτοτελεστὰς οἷς μέλον καλεῖν καλοῦσι, προσεπιτερατεύονται τῇ συμφορᾷ, ὁλόριζον ἀπαγορεύοντες σέ-

λινον ἐπὶ τραπέζης τιθέναι· οἴονται γὰρ δὴ ἐκ τοῦ αἵματος τοῦ ἀπορρυέντος τοῦ Κορυβαντικοῦ τὸ σέλινον ἐκπεφυκέναι· ὥσπερ ἀμέλει καὶ αἱ θεσμοφοριάζουσαι τῆς ῥοιᾶς τοὺς κόκκους παραφυλάττουσιν ἐσθίειν τοὺς ἀποπεπτωκότας χαμαί, ἐκ τῶν τοῦ Διονύσου αἵματος σταγόνων βεβλαστηκέναι νομίζουσαι τὰς ῥοιάς. Καβείρους δὲ τοὺς Κορύβαντας καλοῦντες καὶ τελετὴν Καβειρικὴν καταγγέλλουσιν.

174.

Hippolytus

(* Romae — † 237 p. Chr.)

Ref. haer. 5, 8, 9-10 (Wendland): τοῦτ' ἔστι, φησι, τὸ μέγα καὶ ἄρρητον Σαμοθράκων μυστήριον, ὃ μόνοις ἔξεστιν εἰδέναι τοῖς τελείοις, φησίν, ἡμῖν. διαρρήδην γὰρ οἱ Σαμοθρᾷκες τὸν Ἀδὰμ ἐκεῖνον παραδιδόασιν ἐν τοῖς μυστηρίοις τοῖς ἐπιτελουμένοις παρ' αὐτοῖς ἀρχάνθρωπον. ἕστηκε δὲ ἀγάλματα δύο ἐν τῷ Σαμοθράκων ἀνακτόρῳ ἀνθρώπων γυμνῶν ἄνω τεταμένας ἐχόντων τὰς χεῖρας ἀμφοτέρας εἰς οὐρανὸν καὶ τὰς αἰσχύνας ἄνω ἐστραμμένας, καθάπερ ἐν Κυλλήνῃ τὸ τοῦ Ἑρμοῦ.

175.

Titulus

« Arch.-epigr. Mitth. » 1882, 8, n. 14 (Hirschfeld): .... ὁ πριάμενος τὴν ἱερω|[σύνην τῶ]ν μυστῶν θεῶν τῶν ἐν | [Σαμοθρά]κῃ ἱερήσεται διὰ βίο[υ καὶ] [Ἀπατου]ρεῶνος ἑβδόμῃ παρ[έξει τὸ|πέμμ]α σχίζας καὶ ἐγκέει [τὸ πο|τὸν τοῖ]ς μύσταις

καὶ πομπε[υθήσε|ται πα]ρ' αὐτοῦ· στεφανωθήσεται δὲ | [παρὰ] τῶν μυστῶν φιλοτιμίας ἕνε|[κε]ν τῆς εἰς ἑαυτούς, ἐν ᾗ ἱερᾶται ἡμέ|ρᾳ· συνθύσει δὲ καὶ τοὺς λιβάνους ἐμ|πάσαις ταῖς συνόδοις μετὰ τοῦ προ|υπάρχοντος ἱερέω(ς) τῶν μυστῶν καὶ | οἷς ἐπιβάλλει ἐκ τοῦ νόμου....

176.

Flavius Philostratus

(* Lemni, saec. III p. Chr. ineunte Athenis vixit)

Heroic. 740 (Kayser): ἐπὶ δὲ τῷ ἔργῳ τῷ περὶ τοὺς ἄνδρας ὑπὸ τῶν ἐν Λήμνῳ γυναικῶν ἐξ Ἀφροδίτης ποτὲ πραχθέντι καθαίρεται μὲν ἡ Λῆμνος καὶ καθ' ἕνα τοῦ ἔτους καὶ σβέννυται τὸ ἐν αὐτῇ πῦρ ἐς ἡμέρας ἐννέα, θεωρὶς δε ναῦς ἐκ Δήλου πυρφορεῖ, κἂν ἀφίκηται πρὸ τῶν ἐναγισμάτων, οὐδαμοῦ τῆς Λήμνου καθορμίζεται, μετέωρος δὲ ἐπισαλεύει τοῖς ἀκρωτηρίοις, ἔς τε ὅσιον τὸ ἐσπλεῦσαι γένηται. θεοὺς γὰρ χθονίους καὶ ἀπορρήτους καλοῦντες τότε καθαρόν, οἶμαι, τὸ πῦρ τὸ ἐν τῇ θαλάττῃ φυλάττουσιν, ἐπειδὰν δὲ ἡ θεωρὶς ἐσπλεύσῃ καὶ νείμωνται τὸ πῦρ ἔς τε τὴν ἄλλην διαίταν ἔς τε τὰς ἐμπύρους τῶν τεχνῶν, καινοῦ τὸ ἐντεῦθεν βίου φασὶν ἄρχεσθαι.

177.

Firmicus Maternus

(* in Sicilia, aetate succ. Constantini imp. vixit)

De errore, 11 (Halm): in sacris Corybantum parricidium colitur: nam unus frater a duobus interemptus est et ne quod indicium necem fraternae

175. Titulus in Moesia, prope Tomos, inventus. Verba [ ] inclusa supplevit ex coniectura Hirschfeld.

mortis aperiret, sub radicibus Olympi montis a parricidis fratribus consecratur. hunc eundem Macedonum colit stulta persuasio: hic est Cabirus, cui Thessalonicenses quondam cruento ore, cruentis manibus supplicabant.

178.

Nonnus

(Panopoli in Aegypto, ineunte saec. V p. Chr. vixit)

Dionys. 14, 17-21 (Ludwich):

πρῶτα μὲν ἐκ Λήμνοιο πυριγλώχινος ἐρίπνης
φήμη ἀελλήεσσα Σάμου παρὰ μύστιδι πεύκῃ
υἱέας Ἡφαίστοιο δύω θώρηξε Καβείρους,
οὔνομα μητρὸς ἔχοντας ὁμόγνιον, οὓς πάρος ἄμφω
οὐρανίῳ χαλκῆι τέκε Θρήισσα Καβειρώ.

179.

Scholia in Aristophanem

(Exeunte hellenistica aetate scripta sunt)

in Pacem. 277 (Dübner): ἐν Σαμοθρᾴκῃ ἦσαν τελεταί τινες, ἃς ἐδόκουν τελεῖσθαι πρὸς ἀλεξιφάρμακά τινα κινδύνων. ἐν δὲ τῇ Σαμοθρᾴκῃ τὰ τῶν Κορυβάντων ἦν μυστήρια καὶ τὰ τῆς Ἑκάτης. καὶ διαβόητον ἦν τὸ Ζήρινθον ἄνθρον, ἔνθα τὴν Ἑκάτην ὀργιάζειν ἐλέγετο, καὶ τελετὰς ἦγον αὐτῇ τινὰς καὶ κύνας ἔθυον.

4. *ore* addidit Halm. *178.* Cfr. etiam 24, 93; 27, 120, 127; 29, 111.

180.

Scholia in Euripidem

in Phoen. 7 (Dindorf): Δερκύλος Θηβαίου τινός, Δράκοντος τοὔνομα, βασιλέως δὲ Θηβαίων, φησὶν εἶναι τὴν Ἁρμονίαν θυγατέρα, ὃν φονεύσας Κάδμος ἔγημεν Ἁρμονίαν. Ἔφορος δὲ Ἠλέκτρας τῆς Ἄτλαντος αὐτὴν εἶναι λέγει, Κάδμον δὲ παραπλέοντα τὴν Σαμοθράκην ἁρπάσαι αὐτήν, τὴν δὲ εἰς τιμὴν τῆς μητρὸς ονομάσαι τὰς Ἠλέκτρας πύλας, καὶ νῦν ἔτι ἐν τῇ Σαμοθράκῃ ζητοῦσιν αὐτὴν ἐν ταῖς ἑορταῖς.

181.

Hesychius

(* Alexandriae saec. x p. Chr. vixit)

Lex. (M. Schmidt) s. v. κοίης· ἱερεὺς Καβείρων, ὁ καθαίρων φονέα. οἱ δὲ κόης.

IV

DE MYSTERIIS ANDANIAE

182.

Titulus

(an. 91 a. Chr.)

IG. V, 1, 1390 (Kolbe): § 1. [Περὶ ἱ]ερῶν καὶ ἱερᾶν. Ὁ γραμματεὺς τῶν συνέδρων τοὺς γενηθέντας ἱεροὺς ὁρκιξάτω παραχρῆμα, ἄμ μή τις ἀρρωσ[τεῖ,] | ἱερῶ]ν καιομένων, αἷμα καὶ οἶνον σπένδοντας, τὸν ὅρκον τὸν ὑπογεγραμμένον· « ὀμνύω τοὺς θεοὺς οἷς τὰ μυστήρια ἐπιτ[ε|λε]ῖται ἐπιμέλειαν ἕξειν, ὅπως γίνηται τὰ κατὰ τὰν τελετὰν θεοπρεπῶς καὶ ἀπὸ παντὸς τοῦ δικαίου, καὶ μήτε αὐ|[τ]ὸς μηθὲν ἄσχημον μηδὲ ἄδικον ποιήσειν ἐπὶ καταλύσει τῶν μυστηρίων μηδὲ ἄλλῳ ἐπιτρέψειν, ἀλλὰ κατακολου|θήσειν τοῖς γεγραμμένοις ἐξορκίσειν δὲ καὶ τὰς ἱερὰς καὶ τὸν ἱερῆ κατὰ τὸ διάγραμμα. εὐορκοῦντι μέν μοι εἴη, ἃ τοῖς εὐ|σεβέοις, ἐφιορκοῦντι δὲ τἀναντία. » ἂν δέ τις μὴ θέλει ὀμνύειν, ζαμιούτω δραχμαῖς χιλίαις καὶ ἄλλον ἀντὶ τούτου κλαρωσά|τω ἐκ τᾶς αὐτᾶς φυλᾶς. τὰς δὲ ἱερὰς ὁρκιζέτω ὁ ἱερεὺς καὶ οἱ ἱεροὶ ἐν τῷ ἱερῷ τοῦ Καρνείου τᾷ πρότερον ἁμέρᾳ τῶν μυστη|ρίων τὸν αὐτὸν ὅρκον, καὶ ποτεξορκιζόντω· « πεποίημαι δὲ καὶ ποτὶ τὸν ἄνδρα τὰν συμβίωσιν ὁσίως καὶ δικαίως. » τὰν δὲ μ[ὴ] | θέλουσαν ὀμνύειν ζαμιούντω οἱ ἱεροὶ δραχμαῖς χιλίαις καὶ μὴ ἐπιτρεπόντω ἐπιτελεῖν τὰ κατὰ τὰς θυσίας μηδὲ μετ[ε-] |

182. Titulus inventus in ecclesia vici Konstantinoi prope vetustam Andaniam. Pertinet ad annum 91 a. Chr. ut colligitur ex titulo argolico (Vollgraff « Bull. corr. hell. » 1909, 175) in quo, Mnasistrato petenti, oraculum suadet Messenios ipsos ἐπιτελεῖν τὰ μυστήρια. 2, σύνεδροι sunt vici senatores seu municipes, ut ex Liv. 45, 32, 2 coniicitur.

χειν τῶν μυστηρίων, αἱ δὲ ὀμόσασαι ἐπιτελούντω. οἱ δὲ γεγενημένοι ἱεροὶ καὶ ἱεραὶ ἐν τῷ πέμπτῳ καὶ πεντηκοστῷ | ἔτει ὀμοσάντω τὸν αὐτὸν ὅρκον ἐν τῷ ἑνδεκάτῳ μηνὶ πρὸ τῶν μυστηρίων.

§ 2. Παραδόσιος. τὰν δὲ κάμπτραν καὶ τὰ | βιβλία, ἃ δέδωκε Μνασίστρατος, παραδιδόντω οἱ ἱεροὶ τοῖς ἐπικατασταθέντοι., παραδιδόντω δὲ καὶ τὰ λοιπὰ ὅσα | ἂν κατασκευασθεῖ χάριν τῶν μυστη ίων.

§ 3. Στεφάνων. Στεφάνους δὲ ἐχόντω οἱ μὲν ἱεροὶ καὶ αἱ ἱεραὶ πῖλον λευκόν, | τῶν δὲ τελουμένων οἱ πρωτομύσται στλεγγίδα. ὅταν δὲ οἱ ἱεροὶ παραγγείλωντι, τὰμ μὲν στλεγγίδα ἀποθέσθωσαν, | στεφανούσθωσαν δὲ πάντες δάφνᾳ.

§ 4. Εἱματισμοῦ. οἱ τελούμενοι τὰ μυστήρια ἀνυπόδετοι ἔστωσαν καὶ ἐχόντω τὸν | εἱματισμὸν λευκόν, αἱ δὲ γυναῖκες μὴ διαφανῆ μηδὲ τὰ σαμεῖα ἐν τοῖς εἱματίοις πλατύτερα ἡμιδακτυλίου, καὶ αἱ | μὲν ἰδιώτιες ἐχόντω χιτῶνα λίνεον καὶ εἱμάτιον μὴ πλείονος ἄξια δραχμᾶν ἑκατόν, αἱ δὲ παῖδες καλάσηριν ἢ σιν|δονίταν καὶ εἱμάτιον μὴ πλείονος ἄξια μνᾶς, αἱ δὲ δοῦλαι καλάσηριν ἢ σινδονίταν καὶ εἱμάτιον μὴ πλείονος ἄξια δρα|χμᾶν πεντήκοντα. αἱ δὲ ἱεραὶ αἱ μὲν γυναῖκες καλάσηριν ἢ ὑπόδυμα μὴ ἔχον σκιὰς καὶ εἱμάτιον μὴ πλέονος ἄξια δύο | μνᾶν, αἱ δὲ [παῖδε]ς καλάσηριν ἢ εἱμάτιον μὴ πλείονος ἄξια δραχμᾶν ἑκατόν. ἐν δὲ τᾷ πομπᾷ αἱ μὲν ἱεραὶ γυναῖκες ὀποδύ|ταν καὶ εἱμάτιον γυναικεῖον οὖλον, σαμεῖα ἔχον μὴ πλατύτερα ἡμιδακτυλίου,

5. κάμπτραν] capsa fortasse in qua libri sacri asservabantur. Meister ad illam urnam aeneam referri putat in qua, iuxta Paus. 4, 26, 8, lamina stannea continens mysteriorum legem inventa mirabili modo fuerat. (videas infra n. 184).

αἱ δὲ παῖδες καλάσηριν καὶ εἱμάτιον μὴ δια|φανές· μὴ ἐχέτω δὲ μηδεμία χρυσία μηδὲ φῦκος μηδὲ ψιμίθιον μηδὲ ἀνάδεμα μηδὲ τὰς τρίχας ἀνπεπλεγμένας μήτε ὑπο|δήματα εἰ μὴ πίλινα ἢ δερμάτινα ἱερόθυτα. δίφρους δὲ ἐχόντω αἱ ἱεραὶ εὐσυΐνους στρογγύλους καὶ ἐπ' [αὐ]τῶν ποτικεφάλαια | ἢ σπῖραν λευκά, μὴ ἔχοντα μήτε σκιὰν μήτε πορφύραν. ὅσα[ς] δὲ δεῖ διασκευάζεσθαι εἰς θεῶν διάθεσιν, ἐχόντω τὸν εἱματισμόν, | καθ' ὃ ἂν οἱ ἱεροὶ διατάξωντι ἂν δὲ τις ἄλλ(ω)ς ἔχει τὸν εἱματισμὸν παρὰ τὸ διάγραμμ , ἢ ἄλλο τι τῶν κεκωλυμένων, μὴ ἐπιτρεπέ|τω ὁ γυναικονόμος καὶ ἐξουσίαν ἐχέτω λυμαίνεσθαι, καὶ ἔστω ἱερὰ τῶν θεῶν.

§ 5. Ὅρκος γυναικονόμου. οἱ δὲ ἱεροὶ ὅταν καὶ αὐτοὶ ὀμό|σωντι, ὁρκιζόντω τὸν γυναικονόμον ἐπὶ τῶν αὐτῶν ἱερῶν, εἶ μὰν ἕξειν ἐπιμέλειαν περί τε τοῦ εἱματισμοῦ καὶ τῶν λοιπῶν τῶν | ἐπιτεταγμένων μοι ἐν τῷ διαγράμματι.

§ 6. Πομπᾶς. ἐν δὲ τᾷ πομπᾷ ἁγείστω Μνασίστρατος, ἔπειτεν ὁ ἱερεὺς τῶν θεῶν, οἷς | τὰ μυστήρια γίνεται, μετὰ τᾶς ἱερέας, ἔπειτα ἀγωνοθέτας, ἱεροθύται, οἱ αὐληταί· μετὰ δὲ ταῦτα αἱ παρθένοι αἱ ἱεραί, καθὼς ἂν λά|χωντι, ἄγουσαι τὰ ἅρματα ἐπικειμένα[ς] κίστα; ἐχούσας ἱερὰ μυστικά· εἶτεν ἁ θοιναρμόστρια ἁ εἰς Δάματρος καὶ αἱ ὑποθοιναρ|μόστριαι αἱ ἐμβεβακυῖαι, εἶτεν ἁ ἱέρεα τᾶς Δάματρος τᾶς ἐφ' ἱπποδρόμῳ, εἶτεν ἁ τᾶς ἐν Αἰγίλᾳ. ἔπειτεν αἱ ἱεραὶ κατὰ μίαν, κα|θὼς κα λάχωντι, ἔπειτεν οἱ ἱεροὶ καθώς κα οἱ δέκα διατάξωντι· ὁ δὲ γυναικονόμος κλαρούτω τάς τε ἱερὰς καὶ παρθέ-

5. εὐσυΐνους] [οἰ]συΐνους Meineke.

νους καὶ ἐπιμέλειαν | ἐχέτω ὅπως πομπεύωντι, καθώς κα λάχωντι· ἀγέσθω δὲ ἐν τᾷ πομπᾷ καὶ τὰ θύματα, καὶ θυσάντω τᾷ μὲν Δάματρι σῦν ἐπίτοκα, Ἑρμᾶ|νι κρίον, Μεγάλοις Θεοῖς δάμαλιν σῦν, Ἀπόλλωνι Καρνείῳ κάπρον, Ἅγνᾳ οἶν.

§ 7. Σκανᾶν. σκανὰν δὲ μὴ ἐπιτρεπόντω οἱ ἱεροὶ μηθένα ἔχειν ἐν | τετραγώνῳ μείζω ποδῶν τριάκοντα, μηδὲ περιτιθέμεν ταῖς σκαναῖς μήτε δέρρεις μήτε αὐλείας, μηδέ ἐν ᾧ ἂν τόπῳ περιστεμ|ματώσωντι οἱ ἱεροί, μηθένα τῶν μὴ ὄντων ἱερῶν ἔχειν σκανάν. μηδὲ παρερπέτω μηθεὶς ἀμύητος εἰς τὸν τόπον, ὅν κα περιστεμμα|τώσωντι. χωραξάντω δὲ καὶ ὑδράνας. ἀναγραψάντω δὲ καὶ ἀφ' ὧν δεῖ καθαρίζειν καὶ ἃ μὴ δεῖ ἔχοντας εἰσπορεύεσθαι.

§ 8. Ἃ [μ|ὴ δεῖ ἔχειν | ἐν ταῖς σκαναῖς. μηθεὶς κλίνας ἐχέτω ἐν τᾷ σκανᾷ μηδὲ ἀργυρώματα πλείονος ἄξια δραχμᾶν τριακοσιᾶν· εἰ δὲ μή, μὴ ἐπιτρεπόν|τω οἱ ἱεροί, καὶ τὰ πλειονάζοντα ἱερὰ ἔστω τῶν θεῶν.

§ 9. Ἀκοσμούντων. ὅταν δὲ αἱ θυσίαι καὶ τὰ μυστήρια συντελεῖται, εὐφαμεῖν πάν|τας καὶ ἀκούειν τῶν παραγγελλομένων· τὸν δὲ ἀπειθοῦντα ἢ ἀπρεπῶς ἀναστρεφόμενον εἰς τὸ θεῖον μαστιγούντω οἱ ἱεροὶ | καὶ ἀποκωλυόντω τῶν μυστηρίων.

§ 10. Ῥαβδοφόρων. Ῥαβδοφόροι δὲ ἔστωσαν ἐκ τῶν ἱερῶν εἴκοσι καὶ πειθαρχούντω τοῖς ἐπιτελοῦν|τοις τὰ μυστήρια καὶ ἐπιμέλειαν ἐχόντω, ὅπως εὐσχημόνως καὶ εὐτάκτως ὑπὸ τῶν παραγεγενημένων πάντα γίνηται, καθὼς ἂν | παραγγέλλωντι οἱ ἐπὶ τούτων τεταγμένοι· τοὺς δὲ ἀπειθοῦντας ἢ ἀπρεπῶς

9. αὐλείας] αὐλαία apud scriptores.

ἀναστρεφομένους μαστιγούντω. ἂν δέ τις τῶν ῥα-| βδοφόρων μὴ ποιεῖ, καθὼς γέγραπται, ἢ ἄλλο τι ἀδικοῖ ἢ ποιοῖ ἐπὶ καταλύσει τῶν μυστηρίων, κριθεὶς ἐπὶ τῶν ἱερῶν, ἂν κατακριθεῖ, μὴ | μετεχέτω τῶν μυστηρίων.

§ 11. Περὶ τῶν διαφόρων. τὰ δὲ πίπτοντα διάφορα ἐκ τῶν μυστηρίων ἐκλεγόντω οἱ κατασταθέντες ὑπὸ | τοῦ δάμου πέντε· εἰσφερόντω δὲ οἱ ἄρχοντες ἀνάγκᾳ πάντες, μὴ δὶς τοὺς αὐτούς, τίμαμα ἔχοντα ἕκαστον μὴ ἔλασσον ταλάν|του, καὶ τῶν κατασταθέντων παραγραψάτω ἁ γερουσία τὸ τίμαμα, ὡσαύτως δὲ καὶ τὸ τῶν εἰσενεγκάντων. τοῖς δὲ ἐγλογευόντοις | τὰ διάφορα λειτουργείτω ὁ ἀργυροσκόπος. ὅταν δὲ ἐπιτελεσθεῖ τὰ μυστήρια, ἀπολογισάσθωσαν ἐμ πάντοις ἐν τᾷ πρώτᾳ συν|νόμῳ συναγωγᾷ τῶν συνέδρων, καὶ γραφὰν ἀποδόντω τῷ ἐπιμελητᾷ παραχρῆμα γράφοντες ἐπ' ὀνόματος τὰ πεπτωκότα δι[ά]|φορα ἀπὸ τοῦ καθαρμοῦ καὶ ἀπὸ τῶν πρωτομυστᾶν τὸ ὑποστατικόν, καὶ ἄν τι ἄλλο πέσει καὶ τὴν γεγενημέναν ἔξοδον καὶ τί ἂν εἶ | λοιπόν, καὶ ἀριθμησάντω παραχρῆμα τῷ ταμίᾳ καὶ ἔστωσαν ὑπόμαστροι, ἄν τι εὑρίσκωνται ἀδικοῦντες, διπλασίου καὶ ἐπιτιμίου | [δραχ]μᾶν χ[ι]λιᾶν, καὶ οἱ δικαστ[αὶ] μὴ ἀφαιρούντω μηθέν· οἱ δ' ἐν τῷ πέμπτῳ καὶ πεντηκοστῷ ἔτει κατεστάμενοι ἐξοδιασάντω καὶ Μνα[σισ]τράτῳ τὸ διδόμενο[ν αὐτῷ] διάφορον εἰς τὸν στέφανον ὑπὸ τῆς [πό]λεος, δραχμὰς ἑξακισχιλίας, ἀποδόντω δὲ τῷ ταμίᾳ καὶ ὅσα κα εἶ | [πρ]οεξωδιασμένα διάφορα [ὑπ]ὸ τοῦ ταμίου ἐ[ν τῷ πέμ-

6. διάφορα] vox significans reditus et expensa iuxta Sauppe.
19. τὸ ὑποστατικόν] stipendium quod a novis mystis persolvebatur.

πτῳ καὶ πεντηκοστῷ] ἔτε[ι εἰς] τὰ κ[α]τασκευαζόμ[εν]α ἐν [τῷ] Καρνει|ασίῳ ἢ δαπανούμενα χάριν τῶν μυστηρίων. τὸ δὲ [λοιπὸν ἐκ τῶν διαφόρων τούτου τοῦ ἔτους] ἐξωδιαζόντ[ω οἱ πέντε εἰς τὰ] ἐπισκε[υα]||ζόμενα ἐν τῷ Καρνειασίῳ, καὶ ἄν τινος ἔτι χρεία εἶ [παρὰ ταύτας τὰς] ποθόδους, φερόντω γράφοντες ῥη[τῶς ε]ἰς ὃ ἂν χρεία εἶ, καὶ οἱ ἄρχον|τες καὶ οἱ σύνεδροι δογματοποιείσθωσαν, ὅτι δεῖ τὸν ταμίαν [διδόμ]εν τὰ διάφορα. ἀπὸ δὲ τῶν πιπτόντων ἐν τῶν μυστηρίων ἀποκαθι|στάσθω τῷ ταμίᾳ τὰ διάφορα, καὶ ἀποδόντω γραφὰν τῷ ἐπιμελητᾷ, περὶ ὧν κα διοικήσωντι, καὶ ἔστωσαν ὑπόμαστροι, ἄν τι ἀδικήσωντι, κα|θὼς ἐπάνω γέγραπται. ὁ δὲ ταμίας, ὅσον κα παραλάβει διάφορον λοιπὸν ἐκ τούτων, γραφέτω ἐν ὑπεχθέματι εἰς τὰν ἐπισκευὰν τῶν ἐν τῷ | Καρνειασίῳ, καὶ μὴ ἀναχρησάσθω εἰς ἄλλο μηθέν, μέχρι ἂν ἐπιτελεσθεῖ, ὅσων χρεία ἐστὶ ποτὶ τὰν τῶν μυστηρίων συντέλειαν· μηδὲ γρα|ψάτω μηδεὶς δόγμα, ὅτι δεῖ ταῦτα τὰ διάφορα εἰς ἄλλο τι καταχρήσασθαι· εἰ δὲ μή, τὸ γραφὲν ἀτελὲς ἔστω, καὶ ὁ γράψας ἀποτεισάτω δραχ-|μὰς δισχιλίας· ὁμοίως δὲ καὶ ὁ ταμίας, ὅ τι κα ἐξοδιάσει, διπλοῦν καὶ δραχμὰς δισχιλίας· καὶ οἱ δικασταὶ μὴ ἀφαιρούντω μηθέν, καὶ τὰ πίπτοντα | ἐκ ταυτᾶν τᾶν κρισίων διάφορα ὑπαρχέτω εἰς τὰν ἐπισκευὰν τῶν ἐν τῷ Καρνειασίῳ. Ὅταν δὲ ἐπι⟨σ⟩τελεσθεῖ ὅσων χρεία ἐστὶ ποτὶ τὸ συν|τελεῖν τὰ μυστήρια, ὑπαρχέτω τὰ πίπτοντα διάφορα τῶν μυστηρίων εἰς τὰς τᾶς πόλεος ἐσόδους.

7. [ ] supplevit Sauppe. 9. [ ] supplevit Blass.

§ 12. Θυμάτων παροχᾶς. οἱ ἱεροὶ μετὰ τὸ κα|τασταθῆμεν προκαρύξαντες ἐγδόντω τὰν παροχὰν τῶν θυμάτων, ὧν δεῖ θύεσθαι καὶ παρίστασθαι ἐν τοῖς μυστηρίοις, καὶ τὰ εἰς τοὺς | καθαρμούς, ἐγδιδόντες, ἄν τε δοκεῖ συνφέρον εἶμεν ἐπὶ τὸ αὐτὸ πάντα τὰ θύματα, ἄν τε κατὰ μέρος, τῷ τὸ ἐλάχιστον ὑφισταμένῳ | λάμψεσθαι διάφορον. ἔστι δὲ ἃ δεῖ παρέχειν πρὸ τοῦ ἄρχεσθαι τῶν μυστηρίων, ἄρνας δύο λευκούς, ἐπὶ τοῦ καθαρμοῦ κρίον εὔχρουν, καί, ὅταν| ἐν τῷ θεάτρῳ καθαίρει, χοιρίσκους τρεῖς, ὑπὲρ τοὺς πρωτομύστας ἄρνας ἑκατόν, ἐν δὲ τᾷ πομπᾷ Δάματρι σῦν ἐπίτοκα, τοῖς δὲ Μεγάλοις | Θεοῖς δάμαλιν διετῆ σῦν, Ἑρμᾶνι κριόν, Ἀπόλλωνι Καρνείῳ κάπρον, Ἁγνᾳ οἶν. ὁ δὲ ἐγδεξάμενος κατεγγυεύσας ποτὶ τοὺς ἱεροὺς λα|βέτω τὰ διάφορα καὶ παριστάτω τὰ θύματα εὐίερα καθαρὰ ὁλόκλαρα, καὶ ἐπιδειξάτω τοῖς ἱεροῖς πρὸ ἁμερᾶν δέκα τῶν μυστηρίων. τοῖς | δὲ δοκιμασθέντοις σαμεῖον ἐπιβαλόντω οἱ ἱεροί, καὶ τὰ σαμειωθέντα παριστάτω ὁ ἐγδεξάμενος· ἂν δὲ μὴ παριστᾷ ἐπὶ τὰν δοκιμασί|αν πρασσόντω οἱ ἱεροὶ τοὺς ἐγγύους αὐτὸ καὶ τὸ ἥμισυ, τὰ δὲ θύματα αὐτοὶ παρεχόντω καὶ ἀπὸ τῶν πραχθέντων διαφόρων κομισάσθωσαν | τὰν γενομέναν δαπάναν εἰς τὰ θύματα.

§ 13. Τεχνιτᾶν εἰς τὰς χοριτείας. οἱ ἱεροὶ προγραφόντω κατ' ενιαυτὸν τοὺς λειτουργήσοντας ἔν | τε ταῖς θυσίαις καὶ μυστηρίοις αὐλητὰς καὶ κιθαριστάς, ὅσους κα εὑρίσκωντι εὐθέτους ὑπάρχοντας, καὶ προγραφέντες λειτουργούντω | τοῖς θεοῖς.

§ 14. Ἀδικημάτων. ἂν δέ τις ἐν ταῖς ἁμέραις, ἐν αἷς αἵ τε θυσίαι καὶ τὰ μυστήρια γίνονται, ἀλῷ

εἴτε κεκλεβὼς εἴτε ἄλλο τι ἀδίκη|μα πεποιηκώς, ἀγέσθω ἐπὶ τοὺς ἱερούς· καὶ ὁ μὲν ἐλεύθερος, ἂν κατακριθεῖ, ἀποτινέτω διπλοῦν, ὁ δὲ δοῦλος μαστιγούσθω καὶ ἀποτεισάτω δι|πλοῦν τὸ κλέμμα, τῶν δὲ ἄλλων ἀδικημάτων ἐπιτίμιον δραχμὰς εἴκοσι· ἂν δὲ μὴ ἐκτίνει παραχρῆμα, παραδότω ὁ κύριος τὸν οἰκέταν τῷ ἀ|δικηθέντι εἰς ἀπεργασίαν· εἰ δὲ μή, ὑπόδικος ἔστω ποτὶ διπλοῦν.

§ 15. Περὶ τῶν κοπτόντων ἐν τῷ ἱερῷ. μηδεὶς κοπτέτω ἐκ τοῦ ἱεροῦ τόπου· | ἂν δέ τις ἁλῷ, ὁ μὲν δοῦλος μαστιγούσθω ὑπὸ τῶν ἱερῶν, ὁ δὲ ἐλεύθερος ἀποτεισάτω, ὅσον κα οἱ ἱεροὶ ἐπικρίνωντι. ὁ δὲ ἐπιτυχὼν ἀγέτω | αὐτοὺς ἐπὶ τοὺς ἱεροὺς καὶ λαμβανέτω τὸ ἥμισυ.

§ 16. Φύγιμον εἶμεν τοῖς δούλοις. τοῖς δούλοις φύγιμον ἔστω τὸ ἱερόν, καθὼς ἂν οἱ ἱεροὶ | ἀποδείξωντι τὸν τόπον, καὶ μηθεὶς ὑποδεχέσθω τοὺς δραπέτας μηδὲ σιτοδοτείτω μηδὲ ἔργα παρεχέτω· ὁ δὲ ποιῶν παρὰ τὰ γεγραμ|μένα ὑπόδικος ἔστω τῷ κυρίῳ τᾶς τοῦ σώματος ἀξίας διπλασίας καὶ ἐπιτιμίου δραχμᾶν πεντακοσιᾶν, ὁ δὲ ἱερεὺς ἐπικρινέ|τω περὶ τῶν δραπετικῶν, ὅσοι κα ἦνται ἐκ τᾶς ἁμετέρας πόλεος, καὶ ὅσους κα κατακρίνει, παραδότω τοῖς κυρίοις· ἂν δὲ μὴ παραδιδῷ ἐξέσ|τω τῷ κυρίῳ ἀποτρέχειν ἔχοντι.

§ 17. Περὶ τᾶς κράνας. τὰς δὲ κράνας τὰς ὠνο⟨ι⟩μασμένας διὰ τῶν ἀρχαίων ἐγγράφων Ἅγνας καὶ τοῦ γε[γε]|νημένου ποτὶ τᾷ κράνᾳ, ἀγάλματος τὰν ἐπιμέλειαν ἐχέτω Μνασίστρατος, ἕως ἂν ζεῖ, καὶ μετεχέτω μετὰ τῶν ἱερῶν τᾶν τε θυσι|ᾶν καὶ τῶν μυστηρίων καὶ ὅσα κα οἱ θύοντες ποτὶ τᾷ κράνᾳ

τραπεζῶντι, καὶ τῶν θυμάτων τὰ δέρματα λαμβανέτω Μνασίστρατος· | τῶν τε διαφόρων, ὅσα κα οἱ θύοντες ποτὶ τᾷ κράνᾳ προτιθῆντι ἢ εἰς τὸν θησαυρόν, ὅταν κατασκευασθεῖ, ἐμβάλωντι, λαμβανέτω Μνα|σίστρατος τὸ τρίτον μέρος· τὰ δὲ δύο μέρη, καὶ ἄν τι ἀνάθεμα ὑπὸ τῶν θυσιαζόντων ἀνατιθῆται, ἱερὰ ἔστω τῶν θεῶν. ὁ δὲ ἱερεὺς καὶ οἱ ἱε|ροὶ ἐπιμέλειαν ἐχόντω, ὅπως ἀπὸ τῶν διαφόρων ἀναθέματα κατασκευάζηται τοῖς θεοῖς, ἃ ἂν τοῖς συνέδροις δόξει.

§ 18. Θησαυρῶν κατασκευ|[ᾶ]ς. οἱ ἱεροὶ οἱ κατεσταμένοι ἐν τῷ πέμπτῳ καὶ πεντηκοστῷ ἔτει ἐπιμέλειαν ἐχόντω μετὰ τοῦ ἀρχιτέκτονος, ὅπως κατασκευασ|[θ]ῆντι θησαυροὶ λίθινοι δύο κλαικτοί, καὶ χωραξάντω τὸν μὲν ἕνα εἰς τὸν ναὸν τῶν Μεγάλων Θεῶν, τὸν δ' ἄλλον ποτὶ τᾷ κράνᾳ ἐν ᾧ ἂν τόπ|ῳ δοκεῖ αὐτοῖς ἀσφαλῶς ἕξειν· καὶ ἐπιθέντω κλᾶικας, καὶ τοῦ μὲν παρὰ τᾷ κράνᾳ ἐχέτω τὰν ἑτέραν κλᾶικα Μνασίστρατος, τὰν δὲ ἄλ|λαν οἱ ἱεροί, τοῦ δὲ ἐν τῷ ναῷ ἐχόντω τὰν κλᾶικα οἱ ἱεροί, καὶ ἀνοιγόντω κατ' ἐνιαυτὸν τοῖς μυστηρίοις καὶ τὸ ἐξαριθμηθὲν διάφορον ἐ[ξ] | ἑκατέρου τοῦ θησαυροῦ χωρὶς γράψαντες ἀνενεγκάντω· ἀποδόντω δὲ καὶ Μνασιστράτῳ τὸ γινόμενον αὐ[τῷ] διάφορον, καθὼς ἐν τ[ῷ] | διαγράμματι γέγραπται.

§ 19. Ἱεροῦ δείπνου. οἱ ἱεροί ἀπὸ τῶν θυμάτων τῶν ἀγομένων ἐν τᾷ πομπᾷ ἀφελόντες ἀφ' ἑκάστου τὰ νόμι[μα] | τοῖς θεοῖς [τὰ λοι]πὰ κρέα καταχρησάσθωσαν εἰς τὸ ἱερὸν δεῖπνον μετὰ τᾶν ἱερᾶν καὶ παρθένων, καὶ παραλαβόντω τόν τε ἱερῆ | * [καὶ τὰ]ν

30. Verba ** inclusa, ut repetita expungenda sunt.

ἱέρεαν * κα[ὶ τὰ]ν ἱέρεαν τοῦ Καρνείου καὶ Μνασίστρατον καὶ τὰν γυναῖκά τε καὶ τὰς γενεὰς αὐτοῦ καὶ τῶν τεχνιτᾶν τοὺς λει|[το]υ[ργή]σαντας [ἐν τα]ῖς χορείαις καὶ τᾶν ὑπηρεσιᾶν τοὺς λειτουργοῦντας αὐτοῖς· καὶ εἰς τὰ λοιπὰ δαπανάματα μὴ πλεῖον ἀνάλωμα | [π]οιοῦντες δραχμᾶν...

§ 20. Ἀγορᾶς. οἱ ἱεροὶ τόπον ἀποδειξάντω ἐν ᾧ πραθήσεται πάντα· ὁ δὲ ἀγορανόμος ὁ ἐπὶ πόλεος ⟨ἐπι⟩ | ἐπιμέλειαν ἐχέτω, ὅπως οἱ πωλοῦντες ἄδολα καὶ καθαρὰ πωλοῦντι καὶ χρῶνται σταθμοῖς καὶ μέτροις συμφώνοις ποτὶ τὰ δαμόσια, καὶ | μὴ τασσέτω μή[τ]ε πόσου δεῖ πωλεῖν, μηδὲ καιρὸν τασσέτω μηδὲ πρασσέτω μηθεὶς τοὺς πωλοῦντας τοῦ τόπου μηθέν· τοὺς δὲ μὴ πω|λοῦντας καθὼς γέγραπται, τοὺς μὲν δούλους μαστιγούτω, τοὺς δὲ ἐλευθέρους ζαμιούτω εἴκοσι δραχμαῖς· καί τὸ κρίμα ἔστω ἐπὶ τῶν ἱε|[ρῶν.]

§ 21. Ὕδατος. ἐχέτω δὲ ἐπιμέλειαν ὁ ἀγορανόμος καὶ περὶ τοῦ ὕδατος, ὅπως κατὰ τὸν τᾶς παναγύριος χρόνον μηθεὶς κακοποιεῖ μήτε | [τὸ β]ήλημα μήτε τοὺς ὀχετοὺς μήτε ἄν τι ἄλλο κατασκευασθεῖ, ἐν τῷ ἱερῷ χάριν τοῦ ὕδατος, καὶ ὅπως, καθὼς ἂν μερισθεῖ, ῥεῖ τὸ ὕδωρ καὶ μη|[θ]ε[ὶς ἀ]ποκωλύει τοὺς χρωμένους· ἂν δέ τινα λαμβάνει ποιοῦντά τι τῶν κεκωλυμένων, τὸν μὲν δοῦλον μαστιγούτω, τὸν δὲ ἐλεύθερον | [ζαμιούτω] εἴκοσι δραχμαῖς· καὶ τὸ κρίμα ἔστω ἐπὶ τῶν ἱερῶν.

§ 22. Ἀλείμματος καὶ λουτροῦ. ὁ ἀγορανόμος ἐπιμέλειαν ἐχέτω, ὅπως οἱ θέλοντες | [βαλανεύε]ιν

6. Spatium 12-13 litterarum vacare videtur, quod, iuxta Foucart, numquam inscriptum fuit. 19. [τὸ β]ήλημα]. Kumanudis, Sauppe, Dittenberger, Ziehen: [τὸ]πλῆμα.

ἐν τῷ ἱερῷ μὴ πλεῖον πράσσωντι τοὺς λουομένους δύο χαλκῶν καὶ παρέχωντι πῦρ καὶ μάκραν εὔκρατον καὶ τοῖς κατακλυ|[ζομένοις ὕ]δωρ εὔκρατον, καὶ ὅπως ὁ ἐγδεξάμενος τῶν ξύλων τὰν παροχὰν εἰς τὸ ἀλειπτήριον παρέχει ξύλα ξηρὰ καὶ ἱκατὰ τοῖς ἀλει|[φομένοις] κατ' ἁμέραν ἀπὸ τετάρτας ὥρας ἕως ἑβδόμας. δοῦλος δὲ μηθεὶς ἀλειφέσθω. οἱ δὲ ἱεροὶ ἐγδιδό[ι]ντω τὰν παροχὰν τῶν ξύλ[ω]ν|[τῶν εἰς τ]ὸ ἀλειπτήριον· ἂν δέ τις τῶν ἐγδεξαμένων ἢ τῶν βαλανέων μὴ ποιεῖ καθὼς γέγραπται, τὸν μὲν δοῦλον μαστιγούτω ὁ ἀγορανό|[μος, τ]ὸν δὲ ἐλεύθ[ε]ρον ζαμιούτω καθ' ἕκαστον ἀδίκημα εἴκοσι δραχμαῖς· καὶ τὸ κρίμα ἔστω ἐπὶ τῶν ἱερῶν.

§ 23. Συνέσιος ἀναφορᾶς. οἱ ἱε|[ροὶ ὅ]σα κα διοικήσωντι ἐν τᾷ παναγύρει ἢ κατακρίνωντί τινας, σύνεσιν ἀνενεγκάντω εἰς τὸ πρυτανεῖον ἀναγραψάντω δὲ καὶ | [εἰς τ]ὸν οἶκον τὸν ἐν τῷ ἱερῷ, οὓς ἂν κατακρίνωντι καὶ ἐπὶ ποίῳ ἀδικήματι.

§ 24. Ἀντίγραφον ἔχειν τοῦ διαγράμματος. οἱ κατεστάμε|[νοι ὥ]στε γράψαι τὸ διάγραμμα, καθὼς ἂν δοκιμασθεῖ, δόντω τοῖς νομοδείκταις ἀντίγραφον. οἱ δὲ λαβόντες ἐπιδεικνυόντω τῷ | [χρε]ίαν ἔχοντι. καὶ ἐν τοῖς μυστηρίοις συνλειτουργούντω τοῖς ἱεροῖς καὶ ὁ κᾶρυξ καὶ αὐλητὰς καὶ μάντις καὶ ἀρχιτέκτων.

§ 25. [Τᾶς κατα]στάσιος τῶν δέκα. οἱ δαμιουργοὶ τοῦ ἕκτου μηνὸς τᾷ δωδεκάτᾳ, πρὸ τοῦ τὸν κ[λᾶ]ρον τῶν ἱερῶν [κ]αὶ τᾶν ἱερᾶν γί|νεσθαι, ἀποδόντ[ω]| τῷ δάμῳ χειροτο|νίαν, ὅπως καταστά|σει ἐκ πάντων τῶν | πολιτᾶν δέκα, μὴ| νεω-

27. οἱ δαμιουργοί, summi reipublicae Messen. magistratus.

τέρους ἐτῶν | τεσσαράκοντα μη|[δ]ὲ εἰς τοὺς αὐτοὺς τ|[ό]ν γ' ἰὸν ἐνιαυτόν. π[ο]|[τ]εισφερόντω δὲ οἵ τε | ἄρχοντες καὶ τῶν | ἄλλων ὁ θέλων, εἰσ|φέροντες, ἐξ ὧν γέ|γραπται τοὺς ἱεροὺς | κλαροῦσθαι· τοὺς δὲ | κατασταθέντας ὁ[ρ]|κιξάτω ὁ γραμματεὺς | τῶν συνέδρων τὸν | ὅρκον, ὃν οἱ ἱεροὶ ὀμν[ύ]|οντι. ἐχόντω δὲ οἱ κα|τασταθέντες ἐπι|μέλειαν περὶ πάν|των ὧν δεῖ ἐν τοῖς μυσ|τηρίοις συντελεῖσ|θαι καὶ φροντιζόντω | ὅσων χρεία ἐστὶ εἰς | τὸ ἐπιτελεῖσθαι τὰ | μυστήρια. προγρα|φόντω δὲ ἐκ τῶν ἱε|ρῶν καὶ ῥαβδοφόρους, | τοὺς εὐθετωτάτους | ὁμοίως δὲ καὶ μυστα|γωγούς. τοὺς δὲ συν|λειτουργήσοντας | μετὰ Μνασιστρά|[τ]ου προγραφόντω, ἄν| [τ]ινας εὑρίσκωντι εὐ|θέτους ὑπάρχοντας | καὶ τῶν μὴ ὄντων ἱε|ρῶν· καὶ οἱ προγραφέν|τες πειθαρχούντω | καὶ ἐπιτελούντω, ὅ ἂν | προγραφῆντι· τὸν δὲ | μὴ ποιοῦντα κατακρι|νάντω εἴκοσι δρα[χ]μαῖς καὶ ἐγγραψάν|τω εἰς τοὺς πολεμάρ|χους. οἱ δὲ ῥαβδοφόροι | μαστιγούντω, οὕς κα | οἱ δέκα κελεύωντι· οἱ δὲ κατασταθέν|τες δέκα κρινόντω | [τ]ὰ κ[ρίμα]τα [πάντα]

Ἄ[ν δὲ χρεία εἶ πε]ρί τινος διαβούλιον [γί]|νεσθαι, συναγόντω | οἱ δέκα πάντες τοὺς ἱ|ερούς, καὶ καθὼς τοῖς | πλείονοις δόξαι ἐπιτε|λείσθω. φορούντω δὲ οἱ | δέκα ἐν τοῖς μυστηρί|οις στρόφιον πορφύριον.

§ 26. **Ἀγράφων.** εἰ δέ τινα | ἄγραφά ἐστι ἐν τῷ δι|αγράμματι ποτὶ τὰν | τῶν μυστηρίων καὶ | τᾶν θυσιᾶν συντέλει|αν βουλευέσθωσαν οἱ | σύνεδροι, μὴ μετακι|νοῦντες ἐπὶ καταλ[ύ]|σει τῶν μυστηρίων

2. τ[ό]ν γ' ἰον] locus dubius quem Meister ita supplevit. [το]ν [αὐτ]ὸν Kumanudis et Sauppe. Τ|.νγιον Foucart quem Ziehen sequutus est. τ|[ὸ]ν [νέ]ον Dittenberger. 21. Verba [ ] supplevit Sauppe.

μ[η]|θὲν τῶν κατὰ τὸ διά|γραμμα· εἰ δὲ μή, τὸ | γραφὲν ἀτελὲς ἔστω· τὸ δὲ διάγραμμα κύρι|ον ἔστω εἰς πάντα τὸν | χρόνον.

183.

Pausanias

(Exeunte saec. II p. Chr. vixit)

Gr. descr. 4, 1, 7-9 (Spiro): 7. ὡς δὲ ὁ Πανδίονος οὗτος ἦν Λύκος, δηλοῖ τὰ ἐπὶ τῇ εἰκόνι ἔπη τῇ Μεθάπου. μετεκόσμησε γάρ καὶ Μέθαπος τῆς τελετῆς ἔστιν ἅ. ὁ δὲ Μέθαπος γένος μὲν ἦν Ἀθηναῖος, τελεστῆς δὲ καὶ ὀργίων [καὶ] παντοίων συνθέτης. οὗτος καὶ Θηβαίοις τῶν Καβείρων τὴν τελετὴν κατεστήσατο, ἀνέθηκε δὲ καὶ ἐς τὸ κλίσιον τὸ Λυκομιδῶν εἰκόνα ἔχουσαν ἐπίγραμμα, ἄλλα τε λέγον καὶ ὅσα ἡμῖν ἐς πίστιν συντελεῖ τοῦ λόγου·

ἥγνισα δὲ Ἑρμείαο δόμους <σεμνῆς> τε κέλευθα
Δάματρος καὶ πρωτογόνου Κούρας, ὅθι φασὶ
Μεσσήνην θεῖναι Μεγάλαισι θεαῖσιν ἀγῶνα
Φλυάδεω κλεινοῖο γόνου Καυκωνιάδαο.
θαύμασα δ' ὡς σύμπαντα Λύκος Πανδιόνιος φὼς
Ἀτθίδος ἱερὰ ἔργα παρ' Ἀνδανίῃ θέτο κεδνῇ.

τοῦτο τὸ ἐπίγραμμα δηλοῖ μέν, ὡς παρὰ τὴν Μεσσήνην ἀφίκοιτο ὁ Καύκων ἀπόγονος ὢν Φλύου, δηλοῖ δὲ καὶ τὰ ἐς τὸν Λύκον <τά> τε ἄλλα καὶ ὡς ἡ τελετὴ τὸ ἀρχαῖον ἦν ἐν Ἀνδανίᾳ. καί μοι καὶ

8. τελεστῆς] τελετῆς em. Kaibel. Verba [ ] inclusa supplevit Sauppe. 14. Δάματρος] πατρός emend. Buttmann. γόνῳ Καύκωνι δαεῖσαν Porson.

τοῦτο εἰκὸς ἐφαίνετο, τὴν Μεσσήνην μὴ ἑτέρωθι, ἀλλὰ ἔνθα αὐτή τε καὶ Πολυκάων ᾤκουν, καταστήσασθαι τὴν τελετήν.

184.

Gr. descr. 4, 26, 6-7 (Spiro): 6. ἀποροῦντί οὖν αὐτῷ (Ἐπαμεινώνδᾳ) πρεσβύτην ἄνδρα, ἱεροφάντῃ μάλιστα εἰκασμένον, νύκτωρ φασὶν ἐπιστάντα εἰπεῖν, σοὶ μὲν δῶρά ἐστι παρ' ἐμοῦ κρατεῖν ὅτων μεθ' ὅπλων ἐπέρχῃ· καὶ ἢν ἐξ ἀνθρώπων γένῃ, ἔγωγε, ὦ Θηβαῖε, ποιήσω μή ποτε ἀνώνυμον μηδὲ ἄδοξόν <σε> γενέσθαι, σὺ δὲ Μεσσηνίοις γῆν τε πατρίδα καὶ πόλεις ἀπόδος, ἐπειδὴ καὶ τὸ μήνιμα ἤδη σφίσι πέπαυται τὸ Διοσκούρων. Ἐπαμεινώνδᾳ μὲν ταῦτα ἔλεγεν, 7. ἐπιτέλει δὲ τῷ Αἰσχίνου τάδε ἐμήνυε (στρατηγεῖν δὲ αὐτὸν οἱ Ἀργεῖοι τὸν Ἐπιτέλην, καὶ Μεσσήνην ἀνοικίζειν ᾕρηντο) τοῦτον οὖν τὸν ἄνδρα ἐκέλευεν ὁ ὄνειρος, ἔνθα ἂν τῆς Ἰθώμης εὕρῃ πεφυκυῖαν σμίλακα καὶ μυρσίνην, τὸ μέσον ὀρύξαντα αὐτῶν ἀνασῶσαι τὴν γραῦν· κάμνειν γὰρ ἐν τῷ χαλκῷ καθειργμένην θαλάμῳ καὶ ἤδη λιποψυχεῖν αὐτήν. ὁ δὲ Ἐπιτέλης, ὡς ἐπελάμβανεν ἡμέρα, παραγενόμενος ἐς τὸ εἰρημένον χωρίον, ἐπέτυχεν ὀρύσσων ὑδρίᾳ χαλκῇ, καὶ αὐτίκα παρὰ τὸν Ἐπαμεινώνδαν κομίσας, τό τε ἐνύπνιον ἐξηγεῖτο, καὶ αὐτὸν ἐκεῖνον τὸ πῶμα ἀφελόντα ἐκέλευεν, ὅ τι ἐνείη σκοπεῖσθαι. ὁ δὲ θύσας καὶ εὐξάμενος τῷ πεφηνότι ὀνείρατι ἤνοιγε τὴν ὑδρίαν, ἀνοίξας δὲ εὗρε κασσίτερον ἐληλασμένον ἐς τὸ λεπτότατον. ἐπείλικτο δὲ ὥσπερ τὰ βιβλία. ἐνταῦθα τῶν Μεγάλων θεῶν

ἐγέγραπτο ἡ τελετή, καὶ τοῦτο ἦν παρακαταθήκη τοῦ Ἀριστομένους. τοῦτον τὸν ἐπελθόντα τῷ Ἐπιτέλει καὶ Ἐπαμεινώνδα καθεύδουσι Καύκωνα εἶναι λέγουσιν, ὅς ἀφίκετο ἐξ Ἀθηνῶν ἐς Ἀνδανίαν παρὰ Μεσσήνην τὴν Τριόπα.

185.

Gr. descr. 4, 33, 4-6 (Spiro): 4. διαβάντι δὲ τούτους πεδίον ἐστὶν ὀνομαζόμενον Στενυκληρικόν· εἶναι δὲ ἥρωα Στενύκληρον λέγουσι. τοῦ πεδίου δέ ἐστιν ἀπαντικρὺ καλουμένη τὸ ἀρχαῖον Οἰχαλία, τὸ δὲ ἐφ' ἡμῶν Καρνάσιον ἄλσος, κυπαρίσσων μάλιστα πλῆρες. θεῶν δὲ ἀγάλματα, Ἀπόλλωνός ἐστι Καρνείου, <καὶ Ἁγνῆς> καὶ Ἑρμῆς φέρων κριόν· ἡ δὲ Ἁγνὴ Κόρης τῆς Δήμητρός ἐστιν ἐπίκλησις· ὕδωρ δὲ ἄνεισιν ἐκ πηγῆς παρ' αὐτὸ τὸ ἄγαλμα. τὰ δὲ ἐς τὰς θεὰς τὰς Μεγάλας -δρῶσι γὰρ καὶ ταύταις ἐν Καρνασίῳ τὴν τελετὴν- ἀπόρρητα ἔστω μοι· δεύτερα γάρ σφισι νέμω σεμνότητος μετά γε Ἐλευσίνια. ὅτι δ' ὑδρία τε ἡ χαλκῆ τὸ εὕρημα τοῦ Ἀργείου στρατηγοῦ, καὶ Εὐρύτου τοῦ Μελανέως τὰ ὀστᾶ ἐφυλάσσετο ἐνταῦθα, δηλῶσαί με καὶ ἐς ἅπαντας οὐκ ἀπεῖργε τὸ ὄνειρον. ῥεῖ δὲ ποταμὸς παρὰ τὸ Καρνάσιον Χάραδρος, 6. καὶ προελθόντι ἐν ἀριστερᾷ σταδίους ὀκτὼ μάλιστα, ἐρείπιά ἐστιν Ἀνδανίας. καὶ ὅτι μὲν τῇ πόλει τὸ ὄνομα ἀπὸ γυναικὸς γέγονεν Ἀνδανίας, ὁμολογεῖται ὑπὸ τῶν ἐξηγητῶν· οὐ μὴν τά γε ἐς τοὺς γονέας αὐτῆς, οὐδὲ τῷ συνῴκησεν ἔχω λέγειν.

V

DE MYSTERIIS ISIACIS

I.

DE OSIRIDE ET ISIDE IN AEGYPTO CULTIS

186.

Herodotus

(* Halicarnassi c. 480 — † c. 426 a. Chr.)

Hist. 2, 42 (Dietsch-Kallenberg): θεοὺς γὰρ δὴ οὐ τοὺς αὐτοὺς ἅπαντες ὁμοίως Αἰγύπτιοι σέβονται, πλὴν Ἴσιός τε καὶ Ὀσίριος, τὸν δὴ Διόνυσον εἶναι λέγουσι· τούτους δὲ ὁμοίως ἅπαντες σέβονται.

187.

ib. 59: πανηγυρίζουσι δὲ Αἰγύπτιοι οὐκ ἅπαξ τοῦ ἐνιαυτοῦ, πανηγύριας δὲ συχνάς, μάλιστα μὲν καὶ προθυμότατα ἐς Βούβαστιν πόλιν τῇ Ἀρτέμιδι, δεύτερα ἐς Βούσιριν πόλιν τῇ Ἴσι· ἐν ταύτῃ γὰρ δὴ τῇ πόλι ἐστὶ μέγιστον Ἴσιος ἱρόν, ἵδρυται δὲ ἡ πόλις αὕτη τῆς Αἰγύπτου ἐν μέσῳ τῷ Δέλτα, Ἶσις δέ ἐστι κατὰ τὴν Ἑλλήνων γλῶσσαν Δημήτηρ. τρίτα δ' ἐς Σάϊν πόλιν τῇ Ἀθηναίῃ πανηγυρίζουσι. τέταρτα δὲ ἐς Ἡλίου πόλιν τῷ Ἡλίῳ, πέμπτα δὲ ἐς Βουτοῦν πόλιν τῇ Λητοῖ, ἕκτα δὲ ἐς Πάπρημιν πόλιν τῷ Ἄρεϊ.

188.

ib. 144: ἤδη ὦν τῶν αἱ εἰκόνες ἦσαν, τοιούτους ἀπεδείκνυσάν σφεας πάντας ἐόντας, θεῶν δὲ πολλὸν ἀπαλλαγμένους. τὸ δὲ πρότερον τῶν ἀνδρῶν τούτων θεοὺς εἶναι τοὺς ἐν Αἰγύπτῳ ἄρχοντας οἰκέοντας ἅμα τοῖσι ἀνθρώποισι, καὶ τούτων αἰεὶ ἕνα τὸν

κρατέοντα εἶναι· ὕστατον δὲ αὐτῆς βασιλεῦσαι Ὧρον τὸν Ὀσίριος παῖδα, τὸν Ἀπόλλωνα Ἕλληνες ὀνομάζουσι· τοῦτον καταπαύσαντα Τυφῶνα βασιλεῦσαι ὕστατον Αἰγύπτου. Ὄσιρις δέ ἐστι Διόνυσος κατὰ Ἑλλάδα γλῶσσαν.

189.

ib. 156: λόγον δὲ τόνδε ἐπιλέγοντες οἱ Αἰγύπτιοί φασι εἶναι αὐτὴν πλωτήν, ὡς ἐν τῇ νήσῳ ταύτῃ οὐκ ἐούσῃ πρότερον πλωτῇ Λητὼ ἐοῦσα τῶν ὀκτὼ θεῶν τῶν πρώτων γενομένων, οἰκέουσα δὲ ἐν Βουτοῖ πόλι, ἵνα δή οἱ τὸ χρηστήριον τοῦτο ἔστι, Ἀπόλλωνα παρὰ Ἴσιος παρακαταθήκην δεξαμένη διέσωσε κατακρύψασα ἐν τῇ νῦν πλωτῇ λεγομένῃ νήσῳ, ὅτε [δὴ] τὸ πᾶν διζήμενος ὁ Τυφῶν ἐπῆλθε, θέλων ἐξευρεῖν τοῦ Ὀσίριος τὸν παῖδα. Ἀπόλλωνα δὲ καὶ Ἄρτεμιν Διονύσου καὶ Ἴσιος λέγουσι εἶναι παῖδας, Λητοῦν δὲ τροφὸν αὐτοῖσι καὶ σώτειραν γενέσθαι. Αἰγυπτιστὶ δὲ Ἀπόλλων μὲν Ὧρος, Δημήτηρ δὲ Ἶσις, Ἄρτεμις δὲ Βούβαστις.

190.

Hellanicus

(* Lesbi saec. V exeunte a. Chr. vixit)

Fragm. apud Plutarchum de Iside, 34 (Bernardakis): τὸν Ὄσιριν Ἑλλάνικος Ὕσιριν ἔοικεν ἀκηκοέναι ὑπὸ τῶν ἱερέων λεγόμενον. οὕτω γὰρ ὀνομάζων διατελεῖ τὸν θεὸν εἰκότως ἀπὸ τῆς φύσεως καὶ τῆς εὑρέσεως.

15. Ἴσιος] Δήμητρος Herwerd.

191.

Leo Pellaeus

(* saec. IV medio a. Chr. vixit)

Fragm. apud. Clem. Alex. Strom. I, 21 (Stählin): Λέων ὁ τὰ Περὶ τῶν κατ' Αἴγυπτον θεῶν πραγματευσάμενος τὴν Ἶσιν ὑπὸ Ἑλλήνων Δήμητρα καλεῖσθαί φησιν.

192.

Fragm. apud August. de civ. Dei 8, 27 (Dombart): de Iside, uxore Osiris, Aegyptia dea, et de parentibus eorum, qui omnes reges fuisse scribuntur (quibus parentibus suis illa cum sacrificaret, invenit hordei segetem: adque inde spicas marito regi et eius consiliario Mercurio demonstravit, unde eandem et Cererem volunt): quae et quanta mala non a poëtis, sed mysticis eorum litteris memoriae mandata sint sicut Leone sacerdote prodente ad Olympiadem matrem scribit Alexander, legant, qui volunt.

193.

Hecataeus Abderita

(An. 320 a. Chr. floruit)

Fragm. apud Diog. Laert. Prooem. 10 (Cobet): θεοὺς δ' εἶναι ἥλιον καὶ σελήνην, τὸν μὲν Ὄσιριν, τὴν δ' Ἶσιν καλουμένην· αἰνίττεσθαί τε αὐτοὺς διά τε κανθάρου καὶ δράκοντος καὶ ἱέρακος καὶ ἄλλων, ὥς φησι Μανέθως ἐν τῇ τῶν Φυσικῶν ἐπιτομῇ καὶ Ἑκαταῖος ἐν τῇ πρώτῃ περὶ τῆς τῶν Αἰγυπτίων φιλοσοφίας.

6. De Iside] de isto, cod. Paris.

194.

Manetho Sebennyta

(Saec. III a. Chr. aetate Ptolemaei Philad. vixit.)

Fragm. apud Lydum. de mens. 4, 86 (Wünsch): κατὰ δὲ ἱστορίαν Μανέθων Αἰγυπτιακῶν ὑπομνημάτων ἐν τόμῳ τρίτῳ φησίν, ὅτι πρῶτος [ἀνθρώπων] παρ' Αἰγυπτίοις ἐβασίλευσεν Ἥφαιστος ὁ καὶ εὑρετὴς τοῦ πυρὸς αὐτοῖς γενόμενος· ἐξ οὗ Ἥλιος, μεθ' ὃν Ὄσιρις, ἔπειτα Τυφών, ἀδελφὸς Ὀσίρεως.

195.

Diodorus Siculus

(* Agyrii c. 90 a. Chr. — † aetate Augusti imp.)

Biblioth. hist. 1, 11 (Vogel): τοὺς δ' οὖν κατ' Αἴγυπτον ἀνθρώπους τὸ παλαιὸν γενομένους ἀναβλέψαντας εἰς τὸν κόσμον καὶ τὴν τῶν ὅλων φύσιν καταπλαγέντας τε καὶ θαυμάσαντας ὑπολαβεῖν εἶναι δύο θεοὺς ἀϊδίους τε καὶ πρώτους, τόν τε ἥλιον καὶ τὴν σελήνην, ὧν τὸν μὲν Ὄσιριν, τὴν δὲ Ἶσιν ὀνομάσαι, ἀπό τινος ἐτύμου τεθείσης ἑκατέρας τῆς προσηγορίας ταύτης. μεθερμηνευομένων γὰρ τούτων εἰς τὸν Ἑλληνικὸν τῆς διαλέκτου τρόπον εἶναι μὲν Ὄσιριν πολυόφθαλμον εἰκότως· πανταχῇ γὰρ ἐπιβάλλοντα τὰς ἀκτῖνας ὥσπερ ὀφθαλμοῖς πολλοῖς βλέπειν ἅπασαν γῆν καὶ θάλατταν. καὶ τὸν ποιητὴν δὲ λέγειν σύμφωνα τούτοις· „ἠέλιος θ', ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει". τῶν δὲ παρ' Ἕλλησι παλαιῶν μυθολόγων τινὲς τὸν Ὄσιριν Διόνυσον προσονομάζουσι

20. Cfr. Hom. Il. 3, 277.

καὶ Σείριον παρωνύμως· ὧν Εὔμολπος μὲν ἐν τοῖς Βακχικοῖς ἔπεσί φησιν „ἀστροφαῆ Διόνυσον ἐν ἀκτίνεσσι πυρωπόν“, Ὀρφεὺς δὲ “τοὔνεκά μιν καλέουσι Φάνητά τε καὶ Διόνυσον“. φασὶ δέ τινες καὶ τὸ ἔναμμα αὐτῷ τὸ τῆς νεβρίδος ἀπὸ τῆς τῶν ἄστρων ποικιλίας περιῆφθαι. τὴν δὲ Ἶσιν μεθερμηνευομένην εἶναι παλαιάν, τεθειμένης τῆς προσηγορίας ἀπὸ τῆς ἀϊδίου καὶ παλαιᾶς γενέσεως. κέρατα δ' αὐτῇ ἐπιτιθέασιν ἀπό τε τῆς ὄψεως, ἣν ἔχουσα φαίνεται, καθ' ὃν ἂν χρόνον ὑπάρχῃ μηνοειδής, καὶ ἀπὸ τῆς καθιερωμένης αὐτῇ βοὸς παρ' Αἰγυπτίοις. τούτους δὲ τοὺς θεοὺς ὑφίστανται τὸν σύμπαντα κόσμον διοικεῖν τρέφοντάς τε καὶ αὔξοντας πάντα τριμερέσιν ὥραις ἀοράτῳ κινήσει τὴν περίοδον ἀπαρτιζούσαις, τῇ τε ἐαρινῇ καὶ θερινῇ καὶ χειμερινῇ· ταύτας δ' ἐναντιωτάτην ἀλλήλαις τὴν φύσιν ἐχούσας ἀπαρτίζειν τὸν ἐνιαυτὸν ἀρίστῃ συμφωνίᾳ·

196.

ib. 13: μετὰ δὲ ταῦτα τὸν Κρόνον ἄρξαι, καὶ γήμαντα τὴν ἀδελφὴν Ῥέαν γεννῆσαι κατὰ μέν τινας τῶν μυθολόγων Ὄσιριν καὶ Ἶσιν, κατὰ δὲ τοὺς πλείστους Δία τε καὶ Ἥραν, οὓς δι' ἀρετὴν βασιλεῦσαι τοῦ σύμπαντος κόσμου. ἐκ δὲ τούτων γενέσθαι πέντε θεούς, καθ' ἑκάστην τῶν ἐπαγομένων παρ' Αἰγυπτίοις πενθ' ἡμερῶν ἑνὸς γεννηθέντος· ὀνόματα δὲ ὑπάρξαι τοῖς τεκνωθεῖσιν Ὄσιριν καὶ Ἶσιν, ἔτι δὲ Τυφῶνα καὶ Ἀπόλλωνα καὶ Ἀφροδίτην. καὶ τὸν

4. Cfr. Theogon. fragm. 168 (Abel.) 12. ὑφίστανται] τις προβάλλονται cod. Vind.

μὲν Ὄσιριν μεθερμηνευόμενον εἶναι Διόνυσον, τὴν δὲ Ἶσιν ἔγγιστά πως Δήμητραν. ταύτην δὲ γήμαντα τὸν Ὄσιριν καὶ τὴν βασιλείαν διαδεξάμενον πολλὰ πρᾶξαι πρὸς εὐεργεσίαν τοῦ κοινοῦ βίου.

ib. 14: πρῶτον μὲν γὰρ παῦσαι τῆς ἀλληλοφαγίας τὸ τῶν ἀνθρώπων γένος, εὑρούσης μὲν Ἴσιδος τόν τε τοῦ πυροῦ καὶ τῆς κριθῆς καρπόν, φυόμενον μὲν ὡς ἔτυχε κατὰ τὴν χώραν μετὰ τῆς ἄλλης βοτάνης, ἀγνοούμενον δὲ ὑπὸ τῶν ἀνθρώπων, τοῦ δὲ Ὀσίριδος ἐπινοησαμένου καὶ τὴν τούτων κατεργασίαν τῶν καρπῶν, ἡδέως μεταθέσθαι πάντας τὴν τροφὴν διά τε τὴν ἡδονὴν τῆς φύσεως τῶν εὑρεθέντων καὶ διὰ τὸ φαίνεσθαι συμφέρον ὑπάρχειν ἀπέχεσθαι τῆς κατ᾽ ἀλλήλων ὠμότητος. μαρτύριον δὲ φέρουσι τῆς εὑρέσεως τῶν εἰρημένων καρπῶν τὸ τηρούμενον παρ᾽ αὐτοῖς ἐξ ἀρχαίων· ἔτι γὰρ καὶ νῦν κατὰ τὸν θερισμὸν τοὺς πρώτους ἀμηθέντας στάχυς θέντας τοὺς ἀνθρώπους κόπτεσθαι πλησίον τοῦ δράγματος καὶ τὴν Ἶσιν ἀνακαλεῖσθαι, καὶ τοῦτο πράττειν τιμὴν ἀπονέμοντας τῇ θεῷ τῶν εὑρημένων κατὰ τὸν ἐξ ἀρχῆς τῆς εὑρέσεως καιρόν.

παρ᾽ ἐνίαις δὲ τῶν πόλεων καὶ τοῖς Ἰσείοις ἐν τῇ πομπῇ μετὰ τῶν ἄλλων φέρεσθαι καὶ πυθμένας πυρῶν καὶ κριθῶν, ἀπομνημόνευμα τῶν ἐξ ἀρχῆς τῇ θεῷ φιλοτέχνως εὑρεθέντων.

θεῖναι δέ φασι καὶ νόμους τὴν Ἶσιν, καθ᾽ οὓς ἀλλήλοις διδόναι τοὺς ἀνθρώπους τὸ δίκαιον καὶ τῆς ἀθέσμου βίας καὶ ὕβρεως παύσαθαι διὰ τὸν ἀπὸ τῆς τιμωρίας φόβον·

10. ἐπινοησαμένου] ἐπινοήσαντος Reiske.

197.

ib. 17: τὸν δὲ Ὄσιριν λέγουσιν, ὥσπερ εὐεργετικὸν ὄντα καὶ φιλόδοξον, στρατόπεδον μέγα συστήσασθαι, διανοούμενον ἐπελθεῖν ἅπασαν τὴν οἰκουμένην καὶ διδάξαι τὸ γένος τῶν ἀνθρώπων τήν τε τῆς ἀμπέλου φυτείαν καὶ τὸν σπόρον τοῦ τε πυρίνου καὶ κριθίνου καρποῦ· ὑπολαμβάνειν γὰρ αὐτὸν ὅτι παύσας τῆς ἀγριότητος τοὺς ἀνθρώπους καὶ διαίτης ἡμέρου μεταλαβεῖν ποιήσας τιμῶν ἀθανάτων τεύξεται διὰ τὸ μέγεθος τῆς εὐεργεσίας. ὅπερ δὴ καὶ γενέσθαι· οὐ μόνον γὰρ τοὺς κατ' ἐκείνους τοὺς χρόνους τυχόντας τῆς δωρεᾶς ταύτης, ἀλλὰ καὶ πάντας τοὺς μετὰ ταῦτα ἐπιγενομένους διὰ τὴν ἐν ταῖς εὑρεθείσαις τροφαῖς χάριτα τοὺς εἰσηγησαμένους ὡς ἐπιφανεστάτους θεοὺς τετιμηκέναι. τὸν δ' οὖν Ὄσιρίν φασι τὰ κατὰ τὴν Αἴγυπτον καταστήσαντα καὶ τὴν τῶν ὅλων ἡγεμονίαν Ἴσιδι τῇ γυναικὶ παραδόντα. ταύτῃ μὲν παρακαταστῆσαι σύμβουλον τὸν Ἑρμῆν διὰ τὸ φρονήσει τοῦτον διαφέρειν τῶν ἄλλων φίλων, καὶ στρατηγὸν μὲν ἀπολιπεῖν ἁπάσης τῆς ὑφ' αὐτὸν χώρας Ἡρακλέα γένει τε προσήκοντα καὶ θαυμαζόμενον ἐπ' ἀνδρείᾳ τε καὶ σώματος ῥώμῃ, ἐπιμελητὰς δὲ τάξαι τῶν μὲν πρὸς Φοινίκην κεκλιμένων μερῶν καὶ τῶν ἐπὶ θαλάττῃ τόπων Βούσιριν, τῶν δὲ κατὰ τὴν Αἰθιοπίαν καὶ Λιβύην Ἀνταῖον, αὐτὸν δ' ἐκ τῆς Αἰγύπτου μετὰ τῆς δυνάμεως ἀναζεῦξαι πρὸς τὴν στρατείαν, ἔχοντα μεθ' αὐτοῦ καὶ τὸν ἀδελφόν, ὃν οἱ Ἕλληνες Ἀπόλλωνα κα-

1. εὐεργετικόν] εὑρετικόν cod. Vat.

λοῦσιν. εὑρετὴν δὲ καὶ τοῦτόν φασι γενέσθαι τοῦ φυτοῦ τῆς δάφνης, ἣν καὶ περιτιθέασι τούτῳ τῷ θεῷ μάλιστα πάντες ἄνθρωποι.

τοῦ δὲ κιττοῦ τὴν εὕρεσιν ἀνατιθέασιν Ὀσίριδι καὶ καθιεροῦσιν αὐτὸν τούτῳ τῷ θεῷ καθάπερ καὶ οἱ Ἕλληνες Διονύσῳ. καὶ κατὰ τὴν Αἰγυπτίων μὲν διάλεκτον ὀνομάζεσθαί φασι τὸν κιττὸν φυτὸν Ὀσίριδος, προκεκρίσθαι δὲ τῆς ἀμπέλου τοῦτον πρὸς τὴν ἀφιέρωσιν διὰ τὸ τὴν μὲν φυλλορροεῖν, τὸν δὲ πάντα τὸν χρόνον ἀειθαλῆ διαμένειν . . .

198.

ib. 21: τῶν δ' ἱερέων περὶ τῆς Ὀσίριδος τελευτῆς ἐξ ἀρχαίων ἐν ἀπορρήτοις παρειληφότων, τῷ χρόνῳ ποτὲ συνέβη διά τινων εἰς τοὺς πολλοὺς ἐξενηχθῆναι τὸ σιωπώμενον. φασὶ γὰρ νομίμως βασιλεύοντα τῆς Αἰγύπτου τὸν Ὄσιριν ὑπὸ Τυφῶνος ἀναιρεθῆναι τἀδελφοῦ, βιαίου καὶ ἀσεβοῦς ὄντος. ὃν διελόντα τὸ σῶμα τοῦ φονευθέντος εἰς ἓξ καὶ εἴκοσι μέρη δοῦναι τῶν συνεπιθεμένων ἑκάστῳ μερίδα βουλόμενον πάντας μετασχεῖν τοῦ μύσους καὶ διὰ τοῦτο νομίζοντα συναγωνιστὰς ἕξειν καὶ φύλακας τῆς βασιλείας βεβαίους. τὴν δὲ Ἶσιν ἀδελφὴν οὖσαν Ὀσίριδος καὶ γυναῖκα μετελθεῖν τὸν φόνον, συναγωνιζομένου τοῦ παιδὸς αὐτῆς Ὥρου· ἀνελοῦσαν δὲ τὸν Τυφῶνα καὶ τοὺς συμπράξαντας βασιλεῦσαι τῆς Αἰγύπτου. γενέσθαι δὲ τὴν μάχην παρὰ τὸν ποταμὸν πλησίον τῆς νῦν Ἀνταίου κώμης καλουμένης, ἣν κεῖσθαι μὲν λέγουσιν ἐν τῷ κατὰ τὴν Ἀραβίαν μέρει, τὴν προσηγορίαν δ' ἔχειν ἀπὸ τοῦ κολα-

σθέντος ὑφ' Ἡρακλέους Ἀνταίου, τοῦ κατὰ τὴν Ὀσίριδος ἡλικίαν γενομένου. τὴν δ' οὖν Ἶσιν πάντα τὰ μέρη τοῦ σώματος πλὴν τῶν αἰδοίων ἀνευρεῖν· βουλομένην δὲ τὴν τἀνδρὸς ταφὴν ἄδηλον ποιῆσαι καὶ τιμωμένην παρὰ πᾶσι τοῖς τὴν Αἴγυπτον κατοικοῦσι, συντελέσαι τὸ δόξαν τοιῷδέ τινι τρόπῳ· ἑκάστῳ τῶν μερῶν περιπλάσαι λέγουσιν αὐτὴν τύπον ἀνθρωποειδῆ, παραπλήσιον Ὀσίριδι τὸ μέγεθος, ἐξ ἀρωμάτων καὶ κηροῦ· εἰσκαλεσαμένην δὲ κατὰ γένη τῶν ἱερέων ἐξορκίσαι πάντας μηδενὶ δηλώσειν τὴν δοθησομένην αὐτοῖς πίστιν, κατ' ἰδίαν δ' ἑκάστοις εἰπεῖν, ὅτι μόνοις ἐκείνοις παρατίθεται τὴν τοῦ σώματος ταφήν, καὶ τῶν εὐεργεσιῶν ὑπομνήσασαν παρακαλέσαι θάψαντας ἐν τοῖς ἰδίοις τόποις τὸ σῶμα τιμᾶν ὡς θεὸν τὸν Ὄσιριν, καθιερῶσαι δὲ καὶ τῶν γινομένων παρ' αὐτοῖς ζῴων ἓν ὁποῖον ἂν βουληθῶσι, καὶ τοῦτ' ἐν μὲν τῷ ζῆν τιμᾶν, καθάπερ καὶ πρότερον τὸν Ὄσιριν, μετὰ δὲ τὴν τελευτὴν τῆς ὁμοίας ἐκείνῳ κηδείας ἀξιοῦν. βουλομένην δὲ τὴν Ἶσιν καὶ τῷ λυσιτελεῖ προτρέψασθαι τοὺς ἱερεῖς ἐπὶ τὰς προειρημένας τιμάς, τὸ τρίτον μέρος τῆς χώρας αὐτοῖς δοῦναι πρὸς τὰς τῶν θεῶν θεραπείας τε καὶ λειτουργίας. τοὺς δ' ἱερεῖς λέγεται, μνημονεύοντας τῶν Ὀσίριδος εὐεργεσιῶν καὶ τῇ παρακαλούσῃ βουλομένους χαρίζεσθαι, πρὸς δὲ τούτοις τῷ λυσιτελεῖ προκληθέντας πάντα πρᾶξαι κατὰ τὴν Ἴσιδος ὑποθήκην. διὸ καὶ μέχρι τοῦ νῦν ἑκάστους τῶν ἱερέων ὑπολαμβάνειν παρ' ἑαυτοῖς τεθάφθαι τὸν Ὄσιριν καὶ τά τε ἐξ ἀρχῆς καθιερωθέντα ζῷα τιμᾶν καὶ τε-

22. αὐτοῖς] εἰς προσόδους add. cod. Vindob.

λευτησάντων αὐτῶν ἐν ταῖς ταφαῖς ἀνανεοῦσθαι τὸ τοῦ Ὀσίριδος πένθος. τοὺς δὲ ταύρους τοὺς ἱερούς, τόν τε ὀνομαζόμενον Ἆπιν καὶ τὸν Μνεῦιν, Ὀσίριδι καθιερωθῆναι καὶ τούτους σέβεσθαι καθάπερ θεοὺς κοινῇ καταδειχθῆναι πᾶσιν Αἰγυπτίοις· ταῦτα γὰρ τὰ ζῷα τοῖς εὑροῦσι τὸν τοῦ σίτου καρπὸν συνεργῆσαι μάλιστα πρός τε τὸν σπόρον καὶ τὰς κοινὰς ἁπάντων ἐκ τῆς γεωργίας ὠφελείας.

199.

ib. 1, 22: τὰ μὲν οὖν ἀνευρεθέντα τοῦ Ὀσίριδος μέρη ταφῆς ἀξιωθῆναί φασι τὸν εἰρημένον τρόπον, τὸ δὲ αἰδοῖον ὑπὸ μὲν Τυφῶνος εἰς τὸν ποταμὸν ῥιφῆναι λέγουσι διὰ τὸ μηδένα τῶν συνεργησάντων αὐτὸ λαβεῖν βουληθῆναι, ὑπὸ δὲ τῆς Ἴσιδος οὐδὲν ἧττον τῶν ἄλλων ἀξιωθῆναι τιμῶν ἰσοθέων· ἔν τε γὰρ τοῖς ἱεροῖς εἴδωλον αὐτοῦ κατασκευάσασαν τιμᾶν καταδεῖξαι καὶ κατὰ τὰς τελετὰς καὶ τὰς θυσίας τὰς τῷ θεῷ τούτῳ γινομένας ἐντιμότατον ποιῆσαι καὶ πλείστου σεβασμοῦ τυγχάνειν. διὸ καὶ τοὺς Ἕλληνας, ἐξ Αἰγύπτου παρειληφότας τὰ περὶ τοὺς ὀργιασμοὺς καὶ τὰς Διονυσιακὰς ἑορτάς, τιμᾶν τοῦτο τὸ μόριον ἔν τε τοῖς μυστηρίοις καὶ ταῖς τοῦ θεοῦ τούτου τελεταῖς τε καὶ θυσίαις, ὀνομάζοντας αὐτὸ φαλλόν.

200.

ib. 1, 85: προσθετέον δὲ τοῖς εἰρημένοις τὰ λειπόμενα τῶν γινομένων περὶ τὸν ἱερὸν ταῦρον τὸν

3. Μνεῦιν] Μέμφιν cod. Vindob. 20. ἑορτάς] τελεταῖς add. cod. Vindob.

ὀνομαζόμενον Ἆπιν. ὅταν γὰρ τελευτήσας ταφῇ μεγαλοπρεπῶς, ζητοῦσιν οἱ περὶ ταῦτ' ὄντες ἱερεῖς μόσχον ἔχοντα κατὰ τὸ σῶμα παράσημα τὰ παραπλήσια τῷ προϋπάρξαντι· ὅταν δ' εὑρεθῇ, τὰ μὲν πλήθη τοῦ πένθους ἀπολύεται, τῶν δ' ἱερέων, οἷς ἐστιν ἐπιμελές, ἄγουσι τὸν μόσχον τὸ μὲν πρῶτον εἰς Νείλου πόλιν, ἐν ᾗ τρέφουσιν αὐτὸν ἐφ' ἡμέρας τετταράκοντα, ἔπειτ' εἰς θαλαμηγὸν ναῦν οἴκημα κεχρυσωμένον ἔχουσαν ἐμβιβάσαντες ὡς θεὸν ἀνάγουσιν εἰς Μέμφιν εἰς τὸ τοῦ Ἡφαίστου τέμενος. ἐν δὲ ταῖς προειρημέναις τετταράκονθ' ἡμέραις μόνον ὁρῶσιν αὐτὸν αἱ γυναῖκες κατὰ πρόσωπον ἱστάμεναι καὶ δεικνύουσιν ἀνασυράμεναι τὰ ἑαυτῶν γεννητικὰ μόρια, τὸν δ' ἄλλον χρόνον ἅπαντα κεκωλυμένον ἐστὶν εἰς ὄψιν αὐτὰς ἔρχεσθαι τούτῳ τῷ θεῷ. τῆς δὲ τοῦ βοὸς τούτου τιμῆς αἰτίαν ἔνιοι φέρουσι λέγοντες, ὅτι τελευτήσαντος Ὀσίριδος εἰς τοῦτον ἡ ψυχὴ μετέστη, καὶ διὰ ταῦτα διατελεῖ μέχρι τοῦ νῦν ἀεὶ κατὰ τὰς ἀναδείξεις αὐτοῦ μεθισταμένη πρὸς τοὺς μεταγενεστέρους. ἔνιοι δὲ λέγουσι τελευτήσαντος Ὀσίριδος ὑπὸ Τυφῶνος τὰ μέλη συναγαγοῦσαν τὴν Ἶσιν εἰς βοῦν ξυλίνην ἐμβαλεῖν βύσσινα περιβεβλημένην καὶ διὰ τοῦτο καὶ τὴν πόλιν ὀνομασθῆναι Βούσιριν. πολλὰ δὲ καὶ ἄλλα μυθολογοῦσι περὶ τοῦ Ἄπιδος, ὑπὲρ ὧν μακρὸν ἡγούμεθα τὰ καθ' ἕκαστον διεξιέναι.

201.

ib. 1, 87: τὸν δὲ κύνα πρός τε τὰς θήρας εἶναι χρήσιμον καὶ πρὸς τὴν φυλακήν· διόπερ τὸν θεὸν τὸν

22. βύσσινα] βύρσῃ malit Vogel.

παρ' αὐτοῖς καλούμενον Ἄνουβιν παρεισάγουσι κυνὸς ἔχοντα κεφαλήν, ἐμφαίνοντες, ὅτι σωματοφύλαξ ἦν τῶν περὶ τὸν Ὄσιριν καὶ τὴν Ἶσιν. ἔνιοι δέ φασι τῆς Ἴσιδος προηγουμένους τοὺς κύνας καθ' ὃν καιρὸν ἐζήτει τὸν Ὄσιριν τά τε θηρία καὶ τοὺς ἀπαντῶντας ἀπείργειν, ἔτι δ' εὐνοϊκῶς διακειμένους συζητεῖν ὠρυομένους· διὸ καὶ τοῖς Ἰσείοις προπορεύεσθαι τοὺς κύνας κατὰ τὴν πομπήν, τῶν καταδειξάντων τοῦτο τὸ νόμιμον σημαινόντων τὴν παλαιὰν τοῦ ζῴου χάριν.

202.

ib. ,1 88: τοὺς δὲ ταύρους τοὺς ἱερούς, λέγω δὲ τὸν Ἆπιν καὶ τὸν Μνεῦιν, τιμᾶσθαι παραπλησίως τοῖς θεοῖς Ὀσίριδος καταδείξαντος ἅμα μὲν διὰ τὴν τῆς γεωργίας χρείαν, ἅμα δὲ καὶ διὰ τὸ τῶν εὑρόντων τοὺς καρποὺς τὴν δόξαν ταῖς τούτων ἐργασίαις παραδόσιμον γεγονέναι τοῖς μεταγενεστέροις εἰς ἅπαντα τὸν αἰῶνα. τοὺς δὲ πυρροὺς βοῦς συγχωρηθῆναι θύειν διὰ τὸ δοκεῖν τοιοῦτον τῷ χρώματι γεγονέναι Τυφῶνα τὸν ἐπιβουλεύσαντα μὲν Ὀσίριδι, τυχόντα δὲ τιμωρίας ὑπὸ τῆς Ἴσιδος διὰ τὸν τἀνδρὸς φόνον. καὶ τῶν ἀνθρώπων δὲ τοὺς ὁμοχρωμάτους τῷ Τυφῶνι τὸ παλαιὸν ὑπὸ τῶν βασιλέων φασὶ θύεσθαι πρὸς τῷ τάφῳ τῷ Ὀσίριδος· τῶν μὲν οὖν Αἰγυπτίων ὀλίγους τινὰς εὑρίσκεσθαι πυρρούς, τῶν δὲ ξένων τοὺς πλείους· διὸ καὶ περὶ τῆς Βουσίριδος ξενοκτονίας παρὰ τοῖς Ἕλλησιν ἐνισχῦσαι τὸν μῦθον, οὐ τοῦ βασιλέως ὀνομαζομένου Βουσίριδος, ἀλλὰ τοῦ Ὀσίριδος τάφου ταύτην ἔχοντος τὴν προσηγορίαν κατὰ τὴν τῶν ἐγχωρίων διάλεκτον. τοὺς δὲ λύκους

τιμᾶσθαι λέγουσι διὰ τὴν πρὸς τοὺς κύνας τῆς φύσεως ὁμοιότητα· βραχὺ γὰρ διαλάττοντας αὐτοὺς ταῖς φύσεσι ταῖς ἐπιμιξίαις ζωογονεῖν ἐξ ἀλλήλων. φέρουσι δ' Αἰγύπτιοι καὶ ἄλλην αἰτίαν τῆς τοῦ ζῴου τούτου τιμῆς μυθικωτέραν· τὸ γὰρ παλαιόν φασι τῆς Ἴσιδος μετὰ τοῦ παιδὸς Ὥρου μελλούσης διαγωνίζεσθαι πρὸς Τυφῶνα παραγενέσθαι βοηθὸν ἐξ ᾅδου τὸν Ὄσιριν τῷ τέκνῳ καὶ τῇ γυναικὶ λύκῳ τὴν ὄψιν ὁμοιωθέντα· ἀναιρεθέντος οὖν τοῦ Τυφῶνος τοὺς κρατήσαντας καταδεῖξαι τιμᾶν τὸ ζῷον, οὗ τῆς ὄψεως ἐπιφανείσης τὸ νικᾶν ἐπηκολούθησεν.

203.

ib. 1, 96: Ὀρφέα μὲν γὰρ τῶν μυστικῶν τελετῶν τὰ πλεῖστα καὶ τὰ περὶ τὴν ἑαυτοῦ πλάνην ὀργιαζόμενα καὶ τὴν τῶν ἐν ᾅδου μυθοποιίαν ἀπενέγκασθαι. τὴν μὲν γὰρ Ὀσίριδος τελετὴν τῇ Διονύσου τὴν αὐτὴν εἶναι, τὴν δὲ τῆς Ἴσιδος τῇ τῆς Δήμητρος ὁμοιοτάτην ὑπάρχειν, τῶν ὀνομάτων μόνων ἐνηλλαγμένων· τὰς δὲ τῶν ἀσεβῶν ἐν ᾅδου τιμωρίας καὶ τοὺς τῶν εὐσεβῶν λειμῶνας καὶ τὰς παρὰ τοῖς πολλοῖς εἰδωλοποιίας ἀναπεπλασμένα; παρεισαγαγεῖν μιμησάμενον τὰ γινόμενα περὶ τὰς ταφὰς τὰς κατ' Αἴγυπτον. τὸν μὲν γὰρ ψυχοπομπὸν Ἑρμῆν κατὰ τὸ παλαιὸν νόμιμον παρ' Αἰγυπτίοις ἀναγαγόντα τὸ τοῦ Ἄπιδος σῶμα μέχρι τινὸς παραδιδόναι τῷ περικειμένῳ τὴν τοῦ Κερβέρου προτομήν.

204.

ib. 4, 1: Αἰγύπτιοι τὸν παρ' αὐτοῖς θεὸν Ὄσιριν ὀνομαζόμενόν φασιν εἶναι τὸν παρ' Ἕλλησι

Διόνυσον καλούμενον· τοῦτον δὲ μυθολογοῦσιν ἐπελθεῖν ἅπασαν τὴν οἰκουμένην, εὑρετὴν γενόμενον τοῦ οἴνου καὶ τὴν φυτείαν διδάξαι τῆς ἀμπέλου τοὺς ἀνθρώπους καὶ διὰ ταύτην τὴν εὐεργεσίαν τυχεῖν συμφωνουμένης ἀθανασίας...

205.

Strabo

(* Amaseae c. 60 a. Chr. — † c. 25 p. Chr.)

Geogr. 17, 1, 23 (Meineke): ὑπὲρ δὲ Μωμέμφεώς εἰσι δύο νιτρίαι πλεῖστον νίτρον ἔχουσαι καὶ νομὸς Νιτριώτης. τιμᾶται δ' ἐνταῦθα ὁ Σάραπις καὶ παρὰ μόνοις τούτοις θύεται ἐν Αἰγύπτῳ πρόβατον· πλησίον δὲ καὶ ἐνταῦθα πόλις Μενέλαος... [καὶ] Ναύκρατις... [καὶ] ἡ Σάϊς καὶ μικρὸν ταύτης ὕπερθε τὸ τοῦ Ὀσίριδος ἄσυλον, ἐν ᾧ κεῖσθαι τὸν Ὄσιρίν φασιν. ἀμφισβητοῦσι δὲ τούτου πολλοί, καὶ μάλιστα οἱ τὰς Φιλὰς οἰκοῦντες τὰς ὑπὲρ Συήνης καὶ τῆς Ἐλεφαντίνης. μυθεύουσι γὰρ δή, διότι ἡ Ἶσις κατὰ πολλοὺς τόπους κατὰ γῆς θείη σοροὺς τοῦ Ὀσίριδος (μία δὲ τούτων ἦν ἔχουσα τὸν Ὄσιριν ἀφανὴς πᾶσι), τοῦτο δὲ πράξειε λαθεῖν βουλομένη τὸν Τυφῶνα, μὴ ἐπελθὼν ἐκρίψειε τὸ σῶμα τῆς θήκης.

206.

ib. 17, 1, 31: ἐγγὺς δὲ καὶ ἡ Μέμφις αὐτὴ τὸ βασίλειον τῶν Αἰγυπτίων·... ἔχει δὲ ἱερά, τό τε τοῦ Ἄπιδος, ὅς ἐστιν ὁ αὐτὸς καὶ Ὄσιρις, ὅπου ὁ βοῦς ὁ Ἆπις ἐν σηκῷ τινι τρέφεται, θεὸς ὡς ἔφην νομιζόμενος, διάλευκος, τὸ μέτωπον καὶ ἄλλα τινὰ μι-

χρὰ τοῦ σώματος, τἆλλα δὲ μέλας· οἷς σημείοις ἀεὶ κρίνουσι τὸν ἐπιτήδειον εἰς τὴν διαδοχὴν ἀπογενομένου τοῦ τὴν τιμὴν ἔχοντος. ἔστι δ' αὐλὴ προκειμένη τοῦ σηκοῦ, ἐν ᾗ καὶ ἄλλος σηκὸς τῆς μητρὸς τοῦ βοός· εἰς ταύτην δὲ τὴν αὐλὴν ἐξαφιᾶσι τὸν Ἆπιν καθ' ὥραν τινὰ καὶ μάλιστα πρὸς ἐπίδειξιν τοῖς ξένοις. ὁρῶσι μὲν γὰρ καὶ διὰ θυρίδος ἐν τῷ σηκῷ, βούλονται δέ, καὶ ἔξω. ἀποσκιρτήσαντα δ' ἐν αὐτῇ μικρὰ ἀναλαμβάνουσι πάλιν εἰς τὴν οἰκείαν στάσιν. τό τε δὴ τοῦ Ἄπιδός ἐστιν ἱερὸν παρακείμενον τῷ Ἡφαιστείῳ καὶ αὐτὸ τὸ Ἡφαίστειον πολυτελῶς κατεσκευασμένον ναοῦ τε μεγέθει παὶ τοῖς ἄλλοις.

207.

ib. 17, 1, 44: ἐν δὲ τῇ Ἀβύδῳ τιμῶσι τὸν Ὄσιριν· ἐν δὲ τῷ ἱερῷ τοῦ Ὀσίριδος οὐκ ἔξεστιν οὔτε ᾠδὸν οὔτε αὐλητὴν οὔτε ψάλτην ἀπάρχεσθαι τῷ θεῷ, καθάπερ τοῖς ἄλλοις θεοῖς ἔθος.

208.

L. Annaeus Seneca

(* Cordubae 3 — † 65 p. Chr.)

Fragm. apud Serv. Aen. 6, 154 (Thilo et Hag): Seneca scripsit de situ et de sacris Aegyptiorum. hic dicit circa Syenen, extremam Aegypti partem, esse locum, quem Philas, hoc est amicas, vocant ideo, quod illic est placata ab Aegyptiis Isis, quibus irascebatur quod membra mariti Osiridis non inveniebat, quem frater Thyphon occiderat. quae inventa postea cum sepelire vellet, eligit vicinae paludis

tutissimum locum, quam transitu constat esse difficilem; limosa enim est et papyris referta et alta. ultra hanc est brevis insula, inaccessa hominibus, unde Abatos appellata est: Lucanus „hinc Abatos, quam nostra vocat veneranda vetustas“. haec palus Styx vocatur, quòd tristitiam transeuntibus gignit. sane ad illam insulam ab his, qui sacris imbuti sunt, certis transitur diebus. lectum est etiam, quod vicini populi cadavera suorum ad alteram regionem transferunt; sed si quis forte in fluvio pereat nec eius inveniatur cadaver, post centum ei annos ultima persolvuntur. hinc est tractum „centum errant annos volitantque haec litora circum“.

209.

Plutarchus

(* Chaeroneae in Boeotia c. 50. — † 125 p. Chr.)

de Is. et Osir. 12 (Bernardakis): λέγεται δ' ὁ μῦθος οὗτος ἐν βραχυτάτοις ὡς ἔνεστι μάλιστα, τῶν ἀχρήστων σφόδρα καὶ περιττῶν ἀφαιρεθέντων. τῆς Ῥέας φασὶ κρύφα τῷ Κρόνῳ συγγενομένης, αἰσθόμενον ἐπαράσασθαι τὸν Ἥλιον αὐτῇ μήτε μηνὶ μήτ' ἐνιαυτῷ τεκεῖν· ἐρῶντα δὲ τὸν Ἑρμῆν τῆς θεοῦ συνελθεῖν, εἶτα παίξαντα πέττια πρὸς τὴν σελήνην καὶ ἀφελόντα τῶν φώτων ἑκάστου τὸ ἑβδομηκοστόν, ἐκ πάντων ἡμέρας πέντε συνελεῖν καὶ ταῖς ἑξήκοντα καὶ τριακοσίαις ἐπαγαγεῖν, ἃς νῦν ἐπαγομένας Αἰγύπτιοι καλοῦσι καὶ τῶν θεῶν γενεθλίους ἄγουσι. τῇ μὲν πρώτῃ τὸν Ὄσιριν γενέσθαι καὶ φωνὴν αὐτῷ τεχθέντι συνεκπεσεῖν, ὡς ὁ πάντων

5. Cfr. Lucan. 10, 323. 13. Cfr. Verg. Aen. 6. 329. 21. ἑβδομηκοστόν] δεύτερον add. Scaliger 22. συνελθεῖν codd.

κύριος εἰς φῶς πρόεισιν. ἔνιοι δὲ Παμύλην τινὰ λέγουσιν ἐν Θήβαις ὑδρευόμενον ἐκ τοῦ ἱεροῦ τοῦ Διὸς φωνὴν ἀκοῦσαι διακελευομένην ἀνειπεῖν μετὰ βοῆς, ὅτι μέγας βασιλεὺς εὐεργέτης Ὄσιρις γέγονε· καὶ διὰ τοῦτο θρέψαι τὸν Ὄσιριν, ἐγχειρίσαντος αὐτῷ τοῦ Κρόνου, καὶ τὴν τῶν Παμυλίων ἑορτὴν αὐτῷ τελεῖσθαι, Φαλληφορίοις ἐοικυῖαν. τῇ δὲ δευτέρᾳ τὸν Ἀρούηριν, ὃν Ἀπόλλωνα, ὃν καὶ πρεσβύτερον Ὧρον ἔνιοι καλοῦσι· τῇ τρίτῃ δὲ Τυφῶνα μὴ καιρῷ μηδὲ κατὰ χώραν, ἀλλ' ἀναρρήξαντα πληγῇ διὰ τῆς πλευρᾶς ἐξαλέσθαι, τετάρτῃ δὲ τὴν Ἶσιν ἐν πανύγροις γενέσθαι. τῇ δὲ πέμπτῃ Νέφθυν, ἣν καὶ Τελευτὴν καὶ Ἀφροδίτην, ἔνιοι δὲ καὶ Νίκην ὀνομάζουσιν. εἶναι δὲ τὸν μὲν Ὄσιριν ἐξ Ἡλίου καὶ τὸν Ἀρούηριν, ἐκ δ' Ἑρμοῦ τὴν Ἶσιν, ἐκ δὲ τοῦ Κρόνου τὸν Τυφῶνα καὶ τὴν Νέφθυν, διὸ καὶ τὴν τρίτην τῶν ἐπαγομένων ἀποφράδα νομίζοντες οἱ βασιλεῖς οὐκ ἐχρημάτιζον οὐδ' ἐθεράπευον αὑτοὺς μέχρι νυκτός. γήμασθαι δὲ τῷ Τυφῶνι τὴν Νέφθυν. Ἶσιν δὲ καὶ Ὄσιριν ἐρῶντας ἀλλήλων καὶ πρὶν ἢ γενέσθαι κατὰ γαστρὸς ὑπὸ σκότῳ συνεῖναι. ἔνιοι δέ φασι καὶ τὸν Ἀρούηριν οὕτω γεγονέναι καὶ καλεῖσθαι πρεσβύτερον Ὧρον ὑπ' Αἰγυπτίων, Ἀπόλλωνα δ' ὑφ' Ἑλλήνων.

ib. 13: βασιλεύοντα δ' Ὄσιριν Αἰγυπτίους μὲν εὐθὺς ἀπόρου βίου καὶ θηριώδους ἀπαλλάξαι, καρπούς τε δείξαντα καὶ νόμους θέμενον αὐτοῖς καὶ θεοὺς διδάξαντα τιμᾶν· ὕστερον δὲ γῆν πᾶσαν ἡμε-

12. πανύγροις] πανηγύρεσι Bunsen. 17. τρίτην] καὶ τὴν πέμπτην add. Reiske 19. γήμασται] τιμᾶσθαι codd. 21-24. ἔνιοι — Ἑλλήνων glossa iuxta Wyttenbach, Reiske.

ρούμενον ἐπελθεῖν, ἐλάχιστα μὲν ὅπλων δεηθέντα, πειθοῖ δὲ τοὺς πλείστους καὶ λόγῳ μετ' ᾠδῆς καὶ πάσης μουσικῆς θελγομένους προσαγόμενον· ὅθεν Ἕλλησι δόξαι Διονύσῳ τὸν αὐτὸν εἶναι. Τυφῶνα δ' ἀπόντος μὲν οὐδὲν νεωτερίζει, διὰ τὸ τὴν Ἶσιν εὖ μάλα φυλάττεσθαι καὶ προσέχειν ἐγκρατῶς ἔχουσαν, ἐπανελθόντι δὲ δόλον μηχανᾶσθαι, συνωμότας ἄνδρας ἑβδομήκοντα καὶ δύο πεποιημένον καὶ συνεργὸν ἔχοντα βασίλισσαν ἐξ Αἰθιοπίας παροῦσαν, ἣν ὀνομάζουσιν Ἀσώ· τοῦ δ' Ὀσίριδος ἐκμετρησάμενον λάθρα τὸ σῶμα καὶ κατασκευάσαντα πρὸς τὸ μέγεθος λάρνακα καλὴν καὶ κεκοσμημένην περιττῶς εἰσενεγκεῖν εἰς τὸ συμπόσιον. ἡσθέντων δὲ τῇ ὄψει καὶ θαυμασάντων, ὑποσχέσθαι τὸν Τυφῶνα μετὰ παιδιᾶς, ὃς ἂν ἐγκατακλιθεὶς ἐξισωθῇ, διδόναι δῶρον αὐτῷ τὴν λάρνακα. πειρωμένων δὲ πάντων καθ' ἕκαστον, ὡς οὐδεὶς ἐνήρμοττεν, ἐμβάντα τὸν Ὄσιριν κατακλιθῆναι. τοὺς δὲ συνόντας ἐπιδραμόντας ἐπιρράξαι τὸ πῶμα καί, τῶν μὲν γόμφοις καταλαβόντων ἔξωθεν, τῶν δὲ θερμοῦ μολίβδου καταχεαμένων, ἐπὶ τὸν ποταμὸν ἐξενεγκεῖν καὶ μεθεῖναι διὰ τοῦ Τανιτικοῦ στόματος εἰς τὴν θάλασσαν, ὃ διὰ τοῦτο μισητὸν ἔτι νῦν καὶ κατάπτυστον ὀνομάζειν Αἰγυπτίους. ταῦτα δὲ πραχθῆναι λέγουσιν ἑβδόμῃ ἐπὶ δέκα μηνὸς Ἀθύρ, ἐν ᾧ τὸν σκορπίον ὁ ἥλιος διέξεισιν, ὄγδοον ἔτος καὶ εἰκοστὸν ἐκεῖνο βασιλεύοντος Ὀσίριδος. ἔνιοι δὲ βεβιωκέναι φασὶν αὐτόν, οὐ βεβασιλευκέναι χρόνον τοσοῦτον.

ib. 14: πρώτων δὲ τῶν τὸν περὶ Χέμμιν οἰκούντων τόπον Πανῶν καὶ Σατύρων τὸ πάθος αἰσθομέ-

18. συνόντας] συνωμότας Meineke.

νων καὶ λόγον ἐμβαλόντων περὶ τοῦ γεγονότος, τὰς μὲν αἰφνιδίους τῶν ὄχλων ταραχὰς καὶ πτοήσεις ἔτι νῦν διὰ τοῦτο πανικὰς προσαγορεύεσθαι· τὴν δ' Ἶσιν αἰσθομένην κείρασθαι μὲν ἐνταῦθα τῶν πλοκάμων ἕνα καὶ πένθιμον στολὴν ἀναλαβεῖν, ὅπου τῇ πόλει μέχρι νῦν ὄνομα Κοπτώ. ἕτεροι δὲ τοὔνομα σημαίνειν οἴονται στέρησιν· τὸ γὰρ ἀποστερεῖν 'κόπτειν' λέγουσι. πλανωμένην δὲ πάντῃ καὶ ἀποροῦσαν οὐδένα προσελθεῖν ἀπροσαύδητον, ἀλλὰ καὶ παιδαρίοις συντυχοῦσαν ἐρωτᾶν περὶ τῆς λάρνακος· τὰ δὲ τυχεῖν ἑωρακότα καὶ φράσαι τὸ στόμα, δι' οὗ τὸ ἀγγεῖον οἱ φίλοι τοῦ Τυφῶνος εἰς τὴν θάλασσαν ἔωσαν. ἐκ τούτου τὰ παιδάρια μαντικὴν δύναμιν ἔχειν οἴεσθαι τοὺς Αἰγυπτίους, καὶ μάλιστα ταῖς τούτων ὀττεύεσθαι κληδόσι παιζόντων ἐν ἱεροῖς καὶ φθεγγομένων ὅ τι ἂν τύχωσι. αἰσθομένην δὲ τῇ ἀδελφῇ ἐρῶντα συγγεγονέναι δι' ἄγνοιαν ὡς ἑαυτῇ τὸν Ὄσιριν καὶ τεκμήριον ἰδοῦσαν τὸν μελιλώτινον στέφανον, ὃν ἐκεῖνος παρὰ τῇ Νέφθυι κατέλιπε, τὸ παιδίον ζητεῖν (ἐκθεῖναι γὰρ εὐθὺς τεκοῦσαν διὰ φόβον τοῦ Τυφῶνος). εὑρεθὲν δὲ χαλεπῶς καὶ μόγις, κυνῶν ἐπαγόντων τὴν Ἶσιν, ἐκτραφῆναι καὶ γενέσθαι φύλακα καὶ ὀπαδὸν αὐτῆς, Ἄνουβιν προσαγορευθέντα, καὶ λεγόμενον τοὺς θεοὺς φρουρεῖν, ὥσπερ οἱ κύνες τοὺς ἀνθρώπους.

ib. 15: Ἐκ δὲ τούτου πυθέσθαι περὶ τῆς λάρνακος, ὡς πρὸς τὴν Βύβλον χώραν ὑπὸ τῆς θαλάττης ἐκκυμανθεῖσαν αὐτὴν ἐρείκῃ τινὶ μαλθακῶς ὁ κλύδων προσέμιξεν· ἡ δ' ἐρείκη κάλλιστον ἔρνος

6-8. ἕτεροι–λέγουσι marginalis glossa iuxta Wyttenbach et Bernardakis. 18. ἰδοῦσα τὸν μὲν λάτινον codd.

ὀλίγῳ χρόνῳ καὶ μέγιστον ἀναδραμοῦσα περιέπτυξε καὶ περιέφυ καὶ 'απέκρυψεν ἐντὸς ἑαυτῆς· θαυμάσας δ' ὁ βασιλεὺς τοῦ φυτοῦ τὸ μέγεθος καὶ περιτεμὼν τὸν περιέχοντα τὴν σορὸν οὐχ ὁρωμένην κορμὸν ἔρεισμα τῆς στέγης ὑπέστησε. ταῦτά τε πνεύματί φασι δαιμονίῳ φήμης πυθομένην τὴν Ἶσιν εἰς Βύβλον ἀφικέσθαι καὶ καθίσασαν ἐπὶ κρήνης ταπεινὴν καὶ δεδακρυμένην ἄλλῳ μὲν μηδενὶ προσδιαλέγεσθαι, τῆς δὲ βασιλίδος τὰς θεραπαινίδας ἀσπάζεσθαι καὶ φιλοφρονεῖσθαι τήν τε κόμην παραπλέκουσαν αὐτῶν καὶ τῷ χρωτὶ θαυμαστὴν εὐωδίαν ἐπιπνέουσαν ἀφ' ἑαυτῆς. ἰδούσης δὲ τῆς βασιλίδος τὰς θεραπαινίδας, ἵμερον ἐμπεσεῖν τῆς ξένης τῶν τε τριχῶν τοῦ τε χρωτὸς ἀμβροσίαν πνέοντος. οὕτω δὲ μεταπεμφθεῖσαν καὶ γενομένην συνήθη ποιήσασθαι τοῦ παιδίου τίτθην. ὄνομα δὲ τῷ μὲν βασιλεῖ Μάλκανδρον εἶναί φασιν· αὐτῇ δ' οἱ μὲν Ἀστάρτην οἱ δὲ Σάωσιν οἱ δὲ Νεμανοῦν, ὅπερ ἂν Ἕλληνες Ἀθηναΐδα προσείποιεν.

ib. 16: τρέφειν δὲ τὴν Ἶσιν ἀντὶ μαστοῦ τὸν δάκτυλον εἰς τὸ στόμα τοῦ παιδίου διδοῦσαν, νύκτωρ δὲ περικάειν τὰ θνητὰ τοῦ σώματος· αὐτὴν δὲ γενομένην χελιδόνα τῇ κίονι περιπέτεσθαι καὶ θρηνεῖν ἄχρι οὗ τὴν βασίλισσαν παραφυλάξασαν καὶ ἐκκραγοῦσαν, ὡς εἶδε περικαόμενον τὸ βρέφος, ἀφελέσθαι τὴν ἀθανασίαν αὐτοῦ. τὴν δὲ θεὰν φανερὰν γενομένην αἰτήσασθαι τὴν κίονα τῆς στέγης· ὑφελοῦσαν δὲ ῥᾷστα περικόψαι τὴν ἐρείκην, εἶτα ταύτην μὲν ὀθόνῃ περικαλύψασαν καὶ μύρον καταχεαμένην ἐγχειρίσαι τοῖς βασιλεῦσι, καὶ νῦν ἔτι σέ-

17. Ἀστάρτην cod. Basileensis; ἀσπάρτην codd.

βεσθαι Βυβλίους τὸ ξύλον ἐν ἱερῷ κείμενον Ἴσιδος. τῇ δὲ σορῷ περιπεσεῖν καὶ κωκῦσαι τηλικοῦτον, ὥστε τῶν παίδων τοῦ βασιλέως τὸν νεώτερον ἐκθανεῖν, τὸν δὲ πρεσβύτερον μεθ' ἑαυτῆς ἔχουσαν καὶ τὴν σορὸν εἰς πλοῖον ἐνθεμένην ἀναχθῆναι. τοῦ δὲ Φαίδρου ποταμοῦ πνεῦμα τραχύτερον ἐκθρέψαντος ὑπὸ τὴν ἕω, θυμωθεῖσαν ἀναξηρᾶναι τὸ ῥεῖθρον.

ib. 17: ὅπου δὲ πρῶτον ἐρημίας ἔτυχεν, αὐτὴν καθ' ἑαυτὴν γενομένην ἀνοῖξαι τὴν λάρνακα καὶ τῷ προσώπῳ τὸ πρόσωπον ἐπιθεῖσαν ἀσπάσασθαι καὶ δακρύειν· τοῦ δὲ παιδίου σιωπῇ προσελθόντος ἐκ τῶν ὄπισθεν καὶ καταμανθάνοντος, αἰσθομένην μεταστραφῆναι καὶ δεινὸν ὑπ' ὀργῆς ἐμβλέψαι. τὸ δὲ παιδίον οὐκ ἀνασχέσθαι τὸ τάρβος, ἀλλ' ἀποθανεῖν. οἱ δέ φασιν οὐχ οὕτως, ἀλλ' ὡς εἴρηται πρότερον ἐκπεσεῖν εἰς τὴν θάλασσαν. ἔχει δὲ τιμὰς διὰ τὴν θεόν· ὃν γὰρ ᾄδουσιν Αἰγύπτιοι παρὰ τὰ συμπόσια Μανέρωτα, τοῦτον εἶναι. τινὲς δὲ τὸν μὲν παῖδα καλεῖσθαι Παλαιστινὸν ἢ Πηλούσιον καὶ τὴν πόλιν ἐπώνυμον ἀπ' αὐτοῦ γενέσθαι κτισθεῖσαν ὑπὸ τῆς θεοῦ. τὸν δ' ᾀδόμενον Μανέρωτα πρῶτον εὑρεῖν μουσικὴν ἱστοροῦσιν. ἔνιοι δέ φασιν ὄνομα μὲν οὐδενὸς εἶναι, διάλεκτον δὲ πίνουσιν ἀνθρώποις καὶ θαλειάζουσιν πρέπουσαν 'αἴσιμα τὰ τοιαῦτα παρείη·' τοῦτο γὰρ τῷ Μανέρωτι φραζόμενον ἀναφωνεῖν ἑκάστοτε τοὺς Αἰγυπτίους· ὥσπερ ἀμέλει καὶ τὸ δεικνύμενον αὐτοῖς εἴδωλον ἀνθρώπου τεθνηκότος ἐν κιβωτίῳ περιφερόμενον οὐκ ἔστιν ὑπόμνημα τοῦ περὶ Ὀσίριδος πάθους, ἤ τινες ὑπολαμβάνουσιν, ἀλλ' οἰνωμένους παρακαλεῖν αὐτοὺς χρῆσ-

30. οἰνωμένους] οἰομένους codd.

θαι τοῖς παροῦσι καὶ ἀπολαύειν, ὡς πάντας αὐτίκα μάλα τοιούτους ἐσομένους, ἄχαριν ἐπίκωμον ἐπεισάγουσι.

ib. 18: τῆς δ' Ἴσιδος πρὸς τὸν υἱὸν Ὧρον ἐν Βούτῳ τρεφόμενον πορευθείσης, τὸ δ' ἀγγεῖον ἐκποδὼν ἀποθεμένης, Τυφῶνα κυνηγετοῦντα νύκτωρ πρὸς τὴν σελήνην ἐντυχεῖν αὐτῷ καὶ τὸ σῶμα γνωρίσαντα διελεῖν εἰς τεσσαρεσκαίδεκα μέρη καὶ διαρρῖψαι· τὴν δ' Ἶσιν πυθομένην ἀναζητεῖν ἐν βάριδι παπυρίνῃ τὰ ἕλη διεκπλέουσαν· ὅθεν οὐκ ἀδικεῖσθαι τοὺς ἐν παπυρίνοις σκάφεσι πλέοντας ὑπὸ τῶν κροκοδείλων, ἢ φοβουμένων ἢ σεβομένων νὴ Δία τὴν θεόν. ἐκ τούτου δὲ καὶ πολλοὺς τάφους Ὀσίριδος ἐν Αἰγύπτῳ λέγεσθαι διὰ τὸ προστυγχάνουσαν ἑκάστῳ μέρει ταφὰς ποιεῖν. οἱ δ' οὔ φασιν, ἀλλ' εἴδωλα ποιουμένην διδόναι καθ' ἑκάστην πόλιν ὡς τὸ σῶμα διδοῦσαν, ὅπως παρὰ πλείοσιν ἔχῃ τιμάς, κἂν ὁ Τυφὼν ἐπικρατήσῃ τοῦ Ὥρου, τὸν ἀληθινὸν τάφον ζητῶν, πολλῶν λεγομένων καὶ δεικνυμένων ἀπαγορεύσῃ. μόνον δὲ τῶν μερῶν τοῦ Ὀσίριδος τὴν Ἶσιν οὐχ εὑρεῖν τὸ αἰδοῖον· εὐθὺς γὰρ εἰς τὸν ποταμὸν ῥιφῆναι καὶ γεύσασθαι τόν τε λεπιδωτὸν αὐτοῦ καὶ τὸν ὀξύρυγχον, οὓς μάλιστα τῶν ἰχθύων ἀφοσιοῦσθαι· τὴν δ' Ἶσιν ἀντ' ἐκείνου μίμημα ποιησαμένην καθιερῶσαι τὸν φαλλόν, ᾧ καὶ νῦν ἑορτάζειν τοὺς Αἰγυπτίους.

ib. 19: ἔπειτα τῷ Ὥρῳ τὸν Ὄσιριν ἐξ Ἅιδου παραγενόμενον διαπονεῖν ἐπὶ τὴν μάχην καὶ ἀσκεῖν. εἶτα διερωτῆσαι 'τί κάλλιστον ἡγεῖται'· τοῦ δὲ φήσαντος 'τῷ πατρὶ καὶ μητρὶ τιμωρεῖν κακῶς πα-

2. οὗ χάριν ἐπὶ κῶμον codd.

θύουσιν', δεύτερον ἐρέσθαι 'τί χρησιμώτατον οἴεται ζῷον εἰς μάχην ἐξιοῦσι·' τοῦ δ' Ὥρου 'ἵππον' εἰπόντος, ἐπιθαυμάσαι καὶ διαπορῆσαι, 'πῶς οὐ λέοντα μᾶλλον ἀλλ' ἵππον' εἶπεν. εἰπεῖν οὖν τὸν Ὧρον ὡς 'λέων μὲν ὠφέλιμον ἐπιδεομένῳ βοηθείας, ἵππος δὲ φεύγοντα διασπάσαι καὶ καταναλῶσαι τὸν πολέμιον.' ἀκούσαντ' οὖν ἡσθῆναι τὸν Ὄσιριν, ὡς ἱκανῶς παρασκευασαμένου τοῦ Ὥρου. λέγεται δ' ὅτι, πολλῶν μετατιθεμένων ἀεὶ πρὸς τὸν Ὧρον, καὶ ἡ παλλακὴ τοῦ Τυφῶνος ἀφίκετο Θούηρις. ὄφις δέ τις ἐπιδιώκων αὐτὴν ὑπὸ τῶν περὶ τὸν Ὧρον κατεκόπη καὶ νῦν διὰ τοῦτο σχοινίον τι προβάλλοντές εἰς μέσον κατακόπτουσι. τὴν μὲν οὖν μάχην ἐπὶ πολλὰς ἡμέρας γενέσθαι καὶ κρατῆσαι τὸν Ὧρον· τὸν Τυφῶνα δὲ τὴν Ἶσιν δεδεμένον παραλαβοῦσαν οὐκ ἀνελεῖν, ἀλλὰ καὶ λῦσαι καὶ μεθεῖναι· τὸν δ' Ὧρον οὐ μετρίως ἐνεγκεῖν, ἀλλ' ἐπιβαλόντα τῇ μητρὶ τὰς χεῖραν ἀποσπάσαι τῆς κεφαλῆς τὸ βασίλειον· Ἑρμῆν δὲ περιθεῖναι βούκρανον αὐτῇ κράνος. τοῦ δὲ Τυφῶνος δίκην τῷ Ὥρῳ νοθείας λαχόντος, βοηθήσαντος δὲ τοῦ Ἑρμοῦ καὶ τὸν Ὧρον ὑπὸ τῶν θεῶν γνήσιον κριθῆναι, τὸν δὲ Τυφῶνα δυσὶν ἄλλαις μάχαις καταπολεμηθῆναι. τὴν δ' Ἶσιν ἐξ Ὀσίριδος μετὰ τὴν τελευτὴν συγγενομένου τεκεῖν ἠλιτόμηνον καὶ ἀσθενῆ τοῖς κάτωθεν γυίοις τὸν Ἁρποκράτην.

ib. 20: ταῦτα σχεδόν ἐστι τοῦ μύθου τὰ κεφάλαια τῶν δυσφημοτάτων ἐξαιρεθέντων, οἷόν ἐστι τὸ περὶ τὸν Ὥρου διαμελισμὸν καὶ τὸν Ἴσιδος ἀποκεφαλισμόν. ὅτι μὲν οὖν, εἰ ταῦτα περὶ τῆς μακα-

2. ἵππον] λύκον Benseler.

ρίας καὶ ἀφθάρτου φύσεως, καθ' ἣν μάλιστα νοεῖται τὸ θεῖον, ὡς ἀληθῶς πραχθέντα καὶ συμπεσόντα δοξάζουσι καὶ λέγουσιν, 'ἀποπτύσαι δεῖ καὶ καθήρασθαι στ μα' κατ' Αἰσχύλον οὐδὲν δεῖ λέγειν πρὸς σέ. καὶ γὰρ αὐτὴ δυσκολαίνεις τοῖς οὕτω παρανόμους καὶ βαρβάρους δόξας περὶ θεῶν ἔχουσιν. ὅτι δ' οὐκ ἔοικε ταῦτα κομιδῇ μυθεύμασιν ἀραιοῖς καὶ διακένοις πλάσμασιν, οἷα ποιηταὶ καὶ λογογράφοι καθάπερ αἱ ἀράχναι γεννῶντες ἀφ' ἑαυτῶν ἀπ' ἀρχῆς ἀνυποθέτου ὑφαίνουσι καὶ ἀποτείνουσιν, ἀλλ' ἔχει τινὰς ἱστορίας καὶ παθῶν διηγήσεις, οἶσθ' αὐτή. καὶ καθάπερ οἱ μαθηματικοὶ τὴν ἶριν ἔμφασιν εἶναι τοῦ ἡλίου λέγουσι ποικιλλομένην τῇ πρὸς τὸ νέφος ἀναχωρήσει τῆς ὄψεως, οὕτως ὁ μῦθος ἐνταῦθα λόγου τινὸς ἔμφασίς ἐστιν ἀνακλῶντος ἐπ' ἄλλα τὴν διάνοιαν, ὡς ὑποδηλοῦσιν αἵ τε θυσίαι τὸ πένθιμον ἔχουσαι καὶ σκυθρωπὸν ἐμφαινόμενον, αἵ τε τῶν ναῶν διαθέσεις πῇ μὲν ἀνειμένων εἰς πτερὰ καὶ δρόμους ὑπαιθρίους καὶ καθαρούς, πῇ δὲ κρυπτὰ καὶ σκότια κατὰ γῆς ἐχόντων στολιστήρια Θηβαίοις ἐοικότα καὶ σηκοῖς· οὐχ ἥκιστα δ' ἡ τῶν Ὀσιρείων δόξα, πολλαχοῦ κεῖσθαι λεγομένου τοῦ σώματος· τήν τε γὰρ Διοχίτην ὀνομάζεσθαι πολίχνην λέγουσιν, ὡς μόνην τὸν ἀληθινὸν ἔχουσαν, ἔν τ' Ἀβύδῳ τοὺς εὐδαίμονας τῶν Αἰγυπτίων καὶ δυνατοὺς μάλιστα θάπτεσθαι, φιλοτιμουμένους ὁμοτάφους εἶναι τοῦ σώματος Ὀσίριδος. ἐν δὲ Μέμφει τρέφεσθαι τὸν Ἆπιν, εἴδωλον ὄντα τῆς ἐκείνου ψυχῆς, ὅπου καὶ τὸ σῶμα κεῖσθαι· καὶ τὴν μὲν πόλιν οἱ μὲν ὅρμον ἀγαθῶν ἑρμηνεύ-

13. ἀναχωρήσει] ἀνακλάσει Reiske; ἀναχρώσει Wyttenbach.
22. Διοχίτην] ἐχειτῖνον codd.

ουσιν, οἱ δ' ἰδίως τάφον Ὀσίριδος. τὴν δὲ πρὸς Φίλαις νησῖδα * * ἄλλως μὲν ἄβατον ἅπασι καὶ ἀπρόσπέλαστον εἶναι καὶ μηδ' ὄρνιθας ἐπ' αὐτὴν καταίρειν μηδ' ἰχθῦς προσπελάζειν, ἑνὶ δὲ καιρῷ τοὺς ἱερεῖς διαβαίνοντας ἐναγίζειν καὶ καταστέφειν τὸ σῆμα μηθίδης φυτῷ περισκιαζόμενον ὑπεραίροντι πάσης ἐλαίας μέγεθος.

ib. 21: Εὔδοξος δέ, πολλῶν τάφων ἐν Αἰγύπτῳ λεγομένων, ἐν Βουσίριδι τὸ σῶμα κεῖσθαι· καὶ γὰρ πατρίδα ταύτην γεγονέναι τοῦ Ὀσίριδος· οὐκέτι μέντοι λόγου δεῖσθαι τὴν Ταφόσιριν· αὐτὸ γὰρ φράζειν τοὔνομα ταφὴν Ὀσίριδος· αἰνῶ δὲ τομὴν ξύλου καὶ σχίσιν λίνου καὶ χοὰς χεομένας διὰ τὸ πολλὰ τῶν μυστικῶν ἀναμεμῖχθαι τούτοις. οὐ μόνον δὲ τούτων οἱ ἱερεῖς λέγουσιν, ἀλλὰ καὶ τῶν ἄλλων θεῶν, ὅσοι μὴ ἀγέννητοι μηδ' ἄφθαρτοι, τὰ μὲν σώματα παρ' αὐτοῖς κεῖσθαι καμόντα καὶ θεραπεύεσθαι, τὰς δὲ ψυχὰς ἐν οὐρανῷ λάμπειν ἄστρα, καὶ καλεῖσθαι κύνα μὲν τὴν Ἴσιδος ὑφ' Ἑλλήνων, ὑπ' Αἰγυπτίων δὲ Σῶθιν, Ὠρίωνα δὲ τὴν Ὥρου, τὴν δὲ Τυφῶνος ἄρκτον. εἰς δὲ τὰς ταφὰς τῶν τιμωμένων ζῴων τοὺς μὲν ἄλλους συντεταγμένα τελεῖν, μόνους δὲ μὴ διδόναι τοὺς Θηβαΐδα κατοικοῦντας, ὡς θνητὸν θεὸν οὐδένα νομίζοντας, ἀλλ' ὃν καλοῦσιν αὐτοὶ Κνήφ, ἀγέννητον ὄντα καὶ ἀθάνατον.

ib. 27: τούτων δὲ καὶ τῶν τοιούτων ἀδελφὰ λέγεσθαί φασι περὶ Τυφῶνος, ὡς δεινὰ μὲν ὑπὸ φθόνου καὶ δυσμενείας εἰργάσατο, καὶ πάντα πράγ-

1. Φίλαις] πύλας codd. 2. νησίδα **] νιστιτάνην codd. Stellulas posuit Bernardakis ad nomen insulae supplendum. 21. ταφάς] γραφάς codd.

ματα ταράξας ἐνέπλησε κακῶν γῆν ὁμοῦ τι πᾶσαν καὶ θάλασσαν, εἶτα δίκην ἔδωκεν. ἡ δὲ τιμωρὸς Ὀσίριδος ἀδελφὴ καὶ γυνὴ τὴν Τυφῶνος σβέσασα καὶ καταπαύσασα μανίαν καὶ λύσσαν οὐ περιεῖδε τοὺς ἄθλους καὶ τοὺς ἀγῶνας, οὓς ἀνέτλη, καὶ πλάνας αὐτῆς καὶ πολλὰ μὲν ἔργα σοφίας πολλὰ δ' ἀνδρείας ἀμνηστίαν ὑπολαβοῦσαν καὶ σιωπήν, ἀλλὰ ταῖς ἁγιωτάταις ἀναμίξασα τελεταῖς εἰκόνας καὶ ὑπονοίας καὶ μιμήματα τῶν τότε παθημάτων, εὐσεβείας ὁμοῦ δίδαγμα καὶ παραμύθιον ἀνδράσι καὶ γυναιξὶν ὑπὸ συμφορῶν ἐχομένοις ὁμοίων καθωσίωσεν. αὐτὴ δὲ καὶ Ὄσιρις ἐκ δαιμόνων ἀγαθῶν δι' ἀρετὴν εἰς θεοὺς μεταβαλόντες, ὡς ὕστερον Ἡρακλῆς καὶ Διόνυσος, ἅμα καὶ θεῶν καὶ δαιμόνων οὐκ ἀπὸ τρόπου μεμιγμένας τιμὰς ἔχουσι, πανταχοῦ μέν, ἐν δὲ τοῖς ὑπὲρ γῆν καὶ ὑπὸ γῆν δυνάμενοι μέγιστον. οὐ γὰρ ἄλλον εἶναι Σάραπιν ἢ τὸν Πλούτωνά φασι καὶ Ἶσιν τὴν Περσέφασσαν, ὡς Ἀρχέμαχός εἴρηκεν ὁ Εὐβοεὺς καὶ ὁ Ποντικὸς Ἡρακλείδης τὸ χρηστήριον ἐν Κανώβῳ Πλούτωνος ἡγούμενος εἶναι.

210.

ib. 53: ἡ Ἶσίς ἐστι μὲν τὸ τῆς φύσεως θῆλυ καὶ δεκτικὸν ἁπάσης γενέσεως, καθὸ τιθήνη καὶ πανδεχὴς ὑπὸ τοῦ Πλάτωνος, ὑπὸ δὲ τῶν πολλῶν μυριώνυμος κέκληται, διὰ τὸ πάσας ὑπὸ τοῦ λόγου τρεπομένη μορφὰς δέχεσθαι καὶ ἰδέας. ἔχει δὲ σύμφυτον ἔρωτα τοῦ πρώτου καὶ κυριωτάτου πάντων, ὃ τἀγαθῷ ταὐτόν ἐστι, κἀκεῖνο ποθεῖ καὶ διώκει· τὴν δ' ἐκ τοῦ κακοῦ φεύγει καὶ διωθεῖται μοῖ-

28. μοῖραν] πεῖραν Madvig.

ραν, ἀμφοῖν μὲν οὖσα χώρα καὶ ὕλη, ῥέπουσα δ' ἀεὶ πρὸς τὸ βέλτιον ἐξ ἑαυτῆς καὶ παρέχουσα γεννᾶν ἐκείνῳ καὶ κατασπείρειν εἰς ἑαυτὴν ἀπορροὰς καὶ ὁμοιότητας, αἷς χαίρει καὶ γέγηθε κυισκομένη καὶ ὑποπιμπλαμένη τῶν γενέσεων. εἰκὼν γάρ ἐστιν οὐσίας ἐν ὕλῃ ἡ γένεσις καὶ μίμημα τοῦ ὄντος τὸ γιγνόμενον.

211.

ib. 65: οὕτω δὲ καὶ τοῖς πολλοῖς καὶ φορτικοῖς ἐπιχειρήσομεν, εἴτε ταῖς καθ' ὥραν μεταβολαῖς τοῦ περιέχοντος εἴτε ταῖς καρπῶν γενέσεσι καὶ σποραῖς καὶ ἀρότοις χαίρουσι τὰ περὶ τοὺς θεοὺς τούτους συνοικειοῦντες καὶ λέγοντες θάπτεσθαι μὲν τὸν Ὄσιριν, ὅτε κρύπτεται τῇ γῇ σπειρόμενος ὁ καρπός, αὖθις δ' ἀναβιοῦσθαι καὶ ἀναφαίνεσθαι, ὅτε βλαστήσεως ἀρχή. διὸ καὶ λέγεσθαι τὴν Ἶσιν αἰσθομένην, ὅτι κύει, περιάψασθαι φυλακτήριον ἕκτῃ μηνὸς ἱσταμένου Φαωφί, τίκτεσθαι δὲ τὸν Ἁρποκράτην περὶ τροπὰς χειμερινὰς ἀτελῆ καὶ νεαρὸν ἐν τοῖς προανθοῦσι καὶ προβλαστάνουσι. διὸ καὶ φακῶν αὐτῷ φυομένων ἀπαρχὰς ἐπιφέρουσι, τὰς δὲ λοχείους ἡμέρας ἑορτάζειν μετὰ τὴν ἐαρινὴν ἰσημερίαν. ταῦτα γὰρ ἀκούοντες ἀγαπῶσι καὶ πιστεύουσιν, αὐτόθεν ἐκ τῶν προχείρων καὶ συνήθων τὸ πιθανὸν ἕλκοντες.

212.

ib. 78: καὶ τοῦθ', ὅπερ οἱ νῦν ἱερεῖς ἀφοσιούμενοι καὶ παρακαλυπτόμενοι μετ' εὐλαβείας ὑποδηλοῦσιν, ὡς ὁ θεὸς οὗτος (Ὄσιρις) ἄρχει καὶ βα-

σιλεύει τῶν τεθνηκότων οὐκ ἕτερος ὢν τοῦ καλουμένου παρ' Ἕλλησιν Ἅιδου καὶ Πλούτωνος, ἀγνοούμενον, ὅπως ἀληθές ἐστι, διαταράττει τοὺς πολλοὺς ὑπονοοῦντας ἐν γῇ καὶ ὑπὸ γῆν τὸν ἱερὸν καὶ ὅσιον ὡς ἀληθῶς Ὄσιριν οἰκεῖν, ὅπου τὰ σώματα κρύπτεται τῶν τέλος ἔχειν δοκούντων. ὁ δ' ἔστι μὲν αὐτὸς ἀπωτάτω τῆς γῆς ἄχραντος καὶ ἀμίαντος καὶ καθαρὸς οὐσίας ἁπάσης φθορὰν δεχομένης καὶ θάνατον.

II.

DE OSIRIDIS ATQUE ISIDIS SACRIS

213.

Albius Tibullus

(* c. 55 — † c. 19 a. Chr.)

Eleg. 1, 3, 23-32 (Baehrens):

Quid tua nunc Isis mihi, Delia, quid mihi prosunt
illa tua totiens aera repulsa manu,
quidve, pie dum sacra colis, pureque lavari
te — memini — et puro secubuisse toro?
nunc, dea, nunc succurre mihi — nam posse mederi
picta docet templis multa tabella tuis —
ut mea votivas persolvens Delia voces
ante sacras lino tecta fores sedeat
bisque die resoluta comas tibi dicere laudes
insignis turba debeat in Pharia.

13. dum] deum, codd. Ambr. Vat. 17. voces] noctes Scaliger, Baehrens.

214.

Sextus Propertius

(* Asisii (?) c. 50 — † c. 15 a. Chr.)

Eleg. 3, 31, 1-20 (Baehrens):

Tristia iam redeunt iterum sollemnia nobis:
  Cynthia iam noctes est operata decem.
atque utinam pereat, Nilo quae sacra tepente
  misit matronis Inachis Ausoniis!
quae dea tam cupidos totiens divisit amantes?
  quaecumque illa fuit, semper amara fuit.
tu certe Iovis occultis in amoribus, Io,
  sensisti, multas quid sit inire vias.
cum te iussit habere puellam cornua Iuno
  et pecoris duro perdere verba sono . . .
an, quoniam agrestem detraxit ab ore figuram
  Iuppiter, idcirco facta superba dea es?
an tibi non satis est fuscis Aegyptus alumnis?
  cur tibi tam longa Roma petita via est?
quidve tibi prodest viduas dormire puellas?
  sed tibi, crede mihi, cornua rursus erunt
aut nos e nostra te, saeva, fugabimus urbe:
  cum Tiberi Nilo gratia nulla fuit . . .

215.

Eleg. 5, 5, 33-34:

Denique ubi amplexu venerem promiseris empto,
  fac puros simules Isidis esse dies.

216.

P. Ovidius Naso

(* Sulmone 43 a. Chr. — † 17 p. Chr.)

Amor. 1, 8, 73-74 (Riese):

Saepe nega noctes; capitis modo finge dolorem
  et modo, quae causas praebeat, Isis erit!

217.

Vitruvius

(aetate Augusti imp. vixit)

Arch. 185 (VIII praef.) (Krohn): qui sacerdotia gerunt moribus Aegyptiorum, ostendunt omnes res e liquoris potestate consistere. itaque cum hydria aqua ad templum aedemque casta religione refertur, tunc in terra procumbentes manibus ad caelum sublatis inventionis gratias agunt divinae benignitati.

218.

L. Annaeus Seneca

(* Cordubae 38 — † 65 p. Chr.)

Fragm. apud. August. de civ. Dei 6, 10 (Dombart): in sacris Aegyptiis Osirim lugeri perditum, mox autem inventum magno esse gaudio derisit (Seneca philosophus), cum perditio eius inventioque fingatur, dolor tamen ille atque laetitia ab eis, qui nihil perdiderunt nihilque invenerunt, veraciter exprimatur.

219.

Annaeus Lucanus

(*Cordubae 38 — † 65 p. Chr.)

Phars. 8, 821-833 (Hosius):

nos in templa tuam Romana accepimus Isim
semideosque canes et sistra iubentia luctus
et, quem tu plangens hominem testaris, Osirim.

220.

ib. 9, 157-161:

omnia dent poenas nudo tibi, Magne, sepulchra:
evolvam busto iam numen gentibus Isim

et tectum lino spargam per volgus Osirim
et sacer in Magni cineres mactabitur Apis
suppositisque deis uram caput.

221.

Iuvenalis

(* Aquini — † post. 127 p. Chr.)

Sat. 6, 526-541 (Hermann):
....si candida iusserit Io,
ibit ad Aegypti finem calidaque petitas
a Meroe portabit aquas, ut spargat in aedem
Isidis, antiquo quae proxima surgit ovili.
Credit enim ipsius dominae se voce moneri:
en animam et mentem, cum qua di nocte loquantur!
ergo hic praecipuum summumque meretur honorem,
qui grege linigero circumdatus et grege calvo
plangentis populi currit derisor Anubis.
Ille petit veniam, quoties non abstinet uxor
concubitu sacris observandisque diebus,
magnaque debetur violato poena cadurco,
et movisse caput visa est argentea serpens;
illius lacrimae meditataque murmura praestant,
ut veniam culpae non abnuat, ansere magno
scilicet et tenui popano corruptus, Osiris.

222.

C. Plinius Secundus

(*Comi 23 — † 79 p. Chr.)

Nat. hist. 19, 1, 14 (Mayhoff): Aegyptio lino minimum firmitatis, plurimum lucri. quattuor ibi genera: Taniticum, Pelusiacum, Buticum, Tentyriticum regionum nominibus, in quibus nascuntur. superior pars Aegypti in Arabiam vergens gignit fruticem, quem aliqui gossypion vocant, plures xylon et ideo

lina inde facta xylina. parvus est similemque barbatae nucis fructum defert, cuius ex interiore bombyce lanugo netur. nec ulla sunt cum candore molliora pexiorave. vestes inde sacerdotibus Aegypti gratissimae.

223.

Chaeremon Alexandrinus

(aetate Neronis imp. vixit)

Fragm. apud Porphyr. de abst. 4, 6. (Nauck): τὰ κατὰ τοὺς Αἰγυπτίους ἱερέας Χαιρήμων ὁ στωικὸς ἀφηγούμενος οὓς καὶ φιλοσόφους ὑπειλῆφθαι φησὶ παρ' Αἰγυπτίοις, ἐξηγεῖται, ὡς τόπον μὲν ἐξελέξαντο ἐμφιλοσοφῆσαι τὰ ἱερά. πρός τε γὰρ τὴν ὅλην ὄρεξιν τῆς θεωρίας συγγενὲς ἦν παρὰ τοῖς ἐκείνων ἀφιδρύμασι διαιτᾶσθαι, παρεῖχέν τε αὐτοῖς ἀσφάλειαν μὲν ἐκ τοῦ θείου σεβασμοῦ κατάπερ τινὰ ἱερὰ ζῷα πάντων τιμώντων τοὺς φιλοσόφους, ἠρεμαίοις δὲ εἶναι, ἅτε τῆς ἐπιμιξίας κατὰ τὰς πανηγύρεις καὶ τὰς ἑορτὰς συντελουμένης μόνον, τὸ δὲ λοιπὸν σχεδὸν ἀβάτων ὄντων τοῖς ἄλλοις τῶν ἱερῶν· ἁγνεύσαντας γὰρ ἔδει προσιέναι καὶ πολλῶν ἀποσχομένους. καὶ τοῦτο ὥσπερ κοινὸς τῶν κατ' Αἴγυπτον ἱερῶν θεσμός ἐστιν. ἀπειπάμενοι δὲ πᾶσαν τὴν ἄλλην ἐργασίαν καὶ πόρους ἀνθρωπίνους, ἀπέδοσαν ὅλον τὸν βίον τῇ τῶν θείων θεωρίᾳ καὶ θεάσει, διὰ μὲν ταύτης τό τε τίμιον καὶ ἀσφαλὲς καὶ εὐσεβὲς πορίζόμενοι, διὰ δὲ τῆς θεωρίας τὴν ἐπιστήμην, δι' ἀμφοῖν δὲ ἄσκησιν ἠθῶν κεκρυμμένην τινὰ καὶ ἀρχαιοπρεπῆ. τὸ γὰρ ἀεὶ συνεῖναι τῇ θείᾳ

20. πόρους] πορισμούς malit Nauck; πόνους vel τόπους codd. Monac.

γνώσει καὶ ἐπινοίᾳ πάσης μὲν ἔξω τίθησιν πλεονεξίας, καταστέλλει δὲ τὰ πάθη, διεγείρει δὲ πρὸς σύνεσιν τὸν βίον. λιτότητα δὲ ἐπετήδευσαν καὶ καταστολὴν ἐγκράτειάν τε καὶ καρτερίαν τό τε ἐν παντὶ δίκαιον καὶ ἀπλεονέκτητον. σεμνοὺς δε αὐτοὺς παρεῖχεν καὶ τὸ δυσεπίμικτον, οἵ γε παρὰ μὲν αὐτὸν τῶν λεγομένων ἁγνειῶν τὸν καιρὸν οὐδὲ τοῖς συγγενεστάτοις καὶ ὁμοφύλοις ἐπεμίγνυντο σχεδὸν οὐδὲ ἄλλων τῷ θεωρούμενοι, ὅτι μὴ πρὸς τὰς ἀναγκαίας συναγνεύουσι χρείας ἢ ἁγνευτήρια τοῖς μὴ καθαρεύουσιν ἄδυτα καὶ πρὸς ἱερουργίας ἅγια κατανεμόμενοι. τὸν δὲ ἄλλον χρόνον ἁπλούστερον μὲν τοῖς ὁμοίοις ἐπεμίγνυντο, τῶν δὲ ἐξωτικῶν τῆς θρησκείας οὐδενὶ συνεβίουν. ἐφαίνοντο δὲ ἀεὶ θεῶν ἢ ἀγαλμάτων ἐγγύς, ἤτοι φέροντες ἢ προηγούμενοι καὶ τάσσοντες μετὰ κόσμου τε καὶ σεμνότητος· ὧν ἕκαστον οὐ τῦφος ἦν, ἀλλά τινος ἔνδειξις φυσικοῦ λόγου. τὸ δὲ σεμνὸν κἀκ τοῦ καταστήματος ἑωρᾶτο· πορεία τε γὰρ ἦν εὔτακτος καὶ βλέμμα καθεστηκὸς ἐπετηδεύετο, ὡς ὅτε βουληθεῖεν μὴ σκαρδαμύττειν· γέλως δὲ σπάνιος· εἰ δέ που γένοιτο, μέχρι μειδιάσεως· ἀεὶ δὲ ἐντὸς τοῦ σχήματος ⟨αἱ⟩ χεῖρες. καὶ σύμβολόν γε ἦν ἑκάστῳ τῆς τάξεως ἐμφαντικόν, ἣν ἔλαχεν ἐν τοῖς ἱεροῖς· πλείους γὰρ ἦσαν αἱ τάξεις.

δίαιτα δὲ λιτὴ καὶ ἀφελής. οἴνου γὰρ οἳ μὲν οὐδ' ὅλως, οἳ δὲ ὀλίγιστα ἐγεύοντο, νεύρων αἰτιώμενοι βλάβας καὶ πλήρωσιν κεφαλῆς ἐμπόδιον εἰς εὕρεσιν ἀφροδισίων τε ἔφασαν αὐτὸν ὀρέξεις ἐπιφέρειν. ταύτῃ δὲ καὶ τῶν ἄλλων εὐλαβῶς εἶχον, ἄρ-

1. ἐπινοίᾳ] ἐπινοίᾳ Reiske. 3. βίον] νοῦν Nauck. 26. ὀλίγιστα] ὀλιγίστου malit Nauck

τοις μὲν οὐδὲ ὅλως ἐν ταῖς ἁγνείαις χρώμενοι· εἰ δέ ποτε μὴ ἁγνεύοιεν, σὺν ὑσσώπῳ κόπτοντες ἤσθιον· τὸ πολὺ γὰρ αὐτοῦ τῆς δυνάμεως καθαιρεῖν ἔφασαν τὸν ὕσσωπον. ἐλαίου δ' ἀπείχοντο ⟨οἳ⟩ μὲν ὡς τὸ πολύ, οἱ πλεῖστοι δὲ καὶ παντελῶς· εἰ δέ που μετὰ λαχάνων χρήσαιντο, παντελῶς ὀλίγῳ καὶ ὅσον παρηγορῆσαι τὴν αἴσθησιν.

224.

Plutarchus

(* Chaeroneae in Boeotia c. 50 — † 125 p. Chr.)

de Is. et Osir. 4 (Bernardakis): ἐπεὶ τούς γε πολλοὺς καὶ τὸ κοινότατον τοῦτο καὶ σμικρότατον λέληθεν, ἐφ' ὅτῳ τὰς τρίχας οἱ ἱερεῖς ἀποτίθενται καὶ λινᾶς ἐσθῆτας φοροῦσιν· οἱ μὲν γὰρ οὐδ' ὅλως φροντίζουσιν εἰδέναι περὶ τούτων, οἱ δὲ τῶν μὲν ἐρίων ὥσπερ τῶν κρεῶν, σεβομένους τὸ πρόβατον, ἀπέχεσθαι λέγουσι, ξυρεῖσθαι δὲ τὰς κεφαλὰς διὰ τὸ πένθος, φορεῖν δὲ τὰ λινᾶ διὰ τὴν χρόαν, ἣν τὸ λίνον ἀνθοῦν ἀνίησι τῇ περιεχούσῃ τὸν κόσμον αἰθερίῳ χαροπότητι προσεοικυῖαν. ἡ δ' ἀληθὴς αἰτία μία πάντων ἐστί· 'καθαροῦ γάρ' ᾗ φησιν ὁ Πλάτων 'οὐ θεμιτὸν ἅπτεσθαι μὴ καθαρῷ·' περίσσωμα δὲ τροφῆς καὶ σκύβαλον οὐδὲν ἁγνὸν οὐδὲ καθαρόν ἐστιν· ἐκ δὲ περιττωμάτων ἔρια καὶ λάχναι καὶ τρίχες καὶ ὄνυχες ἀναφύονται καὶ βλαστάνουσι. γελοῖον οὖν ἦν τὰς μὲν αὑτῶν τρίχας ἐν ταῖς ἁγνείαις ἀποτίθεσθαι ξυρουμένους καὶ λειαινομένους πᾶν ὁμαλῶς τὸ σῶμα, τὰς δὲ τῶν θρεμμάτων ἀμπέχεσθαι

18. Cfr. Plat. Phaed. p. 67 B.

καὶ φορεῖν·... τὸ δὲ λίνον φύεται μὲν ἐξ ἀθανάτου τῆς γῆς καὶ καρπὸν ἐδώδιμον ἀναδίδωσι, λιτὴν δὲ παρέχει καὶ καθαρὰν ἐσθῆτα καὶ τῷ σκέποντι μὴ βαρύνουσαν, εὐάρμοστον δὲ πρὸς πᾶσαν ὥραν, ἥκιστα δὲ φθειροποιόν, ὡς λέγουσι· περὶ ὧν ἕτερος λόγος.

ib. 5: οἱ δ' ἱερεῖς οὕτω δυσχεραίνουσι τὴν τῶν περιττωμάτων φύσιν, ὥστε μὴ μόνον παραιτεῖσθαι τῶν ὀσπρίων τὰ πολλὰ καὶ τῶν κρεῶν τὰ μήλεια καὶ ὕεια, πολλὴν ποιοῦντα περίττωσιν, ἀλλὰ καὶ τοὺς ἅλας τῶν σιτίων ἐν ταῖς ἁγνείαις ἀφαιρεῖν, ἄλλας τε πλείονας αἰτίας ἔχοντας καὶ τὸ ποτικωτέρους καὶ βρωτικωτέρους ποιεῖν ἐπιθήγοντας τὴν ὄρεξιν· τὸ γάρ, ὡς Ἀρισταγόρας ἔλεγε, διὰ τὸ πηγνυμένοις πολλὰ τῶν μικρῶν ζῴων ἐναποθνήσκειν ἁλισκόμενα μὴ καθαροὺς λογίζεσθαι τοὺς ἅλας εὔηθές ἐστι· λέγονται δὲ καὶ τὸν Ἆπιν ἐκ φρέατος ἰδίου ποτίζειν, τοῦ δὲ Νείλου παντάπασιν ἀπείργειν, οὐ μιαρὸν ἡγούμενοι τὸ ὕδωρ διὰ τὸν κροκόδειλον, ὡς ἔνιοι νομίζουσιν· οὐδὲν γὰρ οὕτω τίμιον Αἰγυπτίοις, ὡς ὁ Νεῖλος· ἀλλὰ πιαίνειν δοκεῖ καὶ μάλιστα πολυσαρκίαν ποιεῖν τὸ Νειλῷον ὕδωρ πινόμενον. οὐ βούλονται δὲ τὸν Ἆπιν οὕτως ἔχειν οὐδ' ἑαυτούς, ἀλλ' εὐσταλῆ καὶ κοῦφα ταῖς ψυχαῖς περικεῖσθαι τὰ σώματα καὶ μὴ πιέζειν μηδὲ καταθλίβειν ἰσχύοντι τῷ θνητῷ καὶ βαρύνοντι τὸ θεῖον.

ib. 6: οἶνον δ' οἱ μὲν ἐν Ἡλίου πόλει θεραπεύοντες τὸν θεὸν οὐκ εἰσφέρουσι τὸ παράπαν εἰς τὸ ἱερόν, ὡς οὐ προσῆκον ἡμέρας πίνειν, τοῦ κυρίου καὶ βασιλέως ἐφορῶντος· οἱ δ' ἄλλοι χρῶνται μὲν

29. ἡμέρας] ἱερέας Moser.

ὀλίγῳ δέ. πολλὰς δ' ἀοίνους ἁγνείας ἔχουσιν, ἐν αἷς φιλοσοφοῦντες καὶ μανθάνοντες καὶ διδάσκοντες τὰ θεῖα διατελοῦσιν· οἱ δὲ βασιλεῖς καὶ μετρητὸν ἔπινον ἐκ τῶν ἱερῶν γραμμάτων, ὡς Ἑκαταῖος ἱστόρηκεν, ἱερεῖς ὄντες. ἤρξαντο δὲ πίνειν ἀπὸ Ψαμμητίχου, πρότερον δ' οὐκ ἔπινον οἶνον οὐδ' ἔσπενδον ὡς φίλιον θεοῖς, ἀλλ' ὡς αἷμα τῶν πολεμησάντων ποτὲ τοῖς θεοῖς, ἐξ ὧν οἴονται πεσόντων καὶ τῇ γῇ συμμιγέντων ἀμπέλους γενέσθαι· διὸ καὶ τὸ μεθύειν ἔκφρονας ποιεῖν καὶ παραπλῆγας, ἅτε δὴ τῶν προγόνων τοῦ αἵματος ἐμπιπλαμένους· ταῦτα μὲν οὖν Εὔδοξος ἐν τῇ δευτέρᾳ τῆς περιόδου λέγεσθαί φησιν οὕτως ὑπὸ τῶν ἱερέων.

ib. 39: ἡ δὲ Τυφῶνος ἐπιβουλὴ καὶ τυραννὶς αὐχμοῦ δύναμις ἦν ἐπικρατήσαντος καὶ διαφορήσαντος τήν τε γεννῶσαν ὑγρότητα τὸν Νεῖλον καὶ αὔξουσαν. ἡ δὲ συνεργὸς αὐτοῦ βασιλὶς Αἰθιόπων αἰνίττεται πνοὰς νοτίους ἐξ Αἰθιοπίας· ὅταν γὰρ αὗται τῶν ἐτησίων ἐπικρατήσωσι τὰ νέφη πρὸς τὴν Αἰθιοπίαν ἐλαυνόντων καὶ κωλύσωσι τοὺς τὸν Νεῖλον αὔξοντας ὄμβρους καταρραγῆναι, κατέχων ὁ Τυφὼν ἐπιφλέγει, καὶ τότε κρατήσας παντάπασι τὸν Νεῖλον εἰς ἑαυτὸν ὑπ' ἀσθενείας συσταλέντα καὶ ῥυέντα κοῖλον καὶ ταπεινὸν ἐξέωσεν εἰς τὴν θάλασσαν. ἡ γὰρ λεγομένη κάθειρξις εἰς τὴν σορὸν Ὀσίριδος οὐδὲν ἔοικεν ἀλλ' ἢ κρύψιν ὕδατος καὶ ἀφανισμὸν αἰνίττεσθαι· διὸ μηνὸς Ἀθὺρ ἀφανισθῆναι τὸν Ὄσιριν λέγουσιν, ὅτε τῶν ἐτησίων ἀπολειπόντων παντάπασιν ὁ μὲν Νεῖλος ὑπονοστεῖ, γυμνοῦται δ' ἡ χώρα, μηκυνομένης δὲ τῆς νυκτὸς αὔξεται τὸ σκότος, ἡ δὲ τοῦ φωτὸς μαραίνεται καὶ

κρατεῖται δύναμις, οἱ ἱερεῖς ἄλλα τε δρῶσι σκυθρωπὰ καὶ βοῦν διάχρυσον ἱματίῳ μέλανι βυσσίνῳ περιβάλλοντες ἐπὶ πένθει τῆς θεοῦ δεικνύουσι (βοῦν γὰρ Ἴσιδος εἰκόνα καὶ γῆν νομίζουσιν) ἐπὶ τέσσαρας ἡμέρας ἀπὸ τῆς ἑβδόμης ἐπὶ δέκα ἑξῆς. καὶ γὰρ τὰ πενθούμενα τέσσαρα, πρῶτον μὲν ὁ Νεῖλος ἀπολείπων καὶ ὑπονοστῶν, δεύτερον δὲ τὰ βόρεια πνεύματα κατασβεννύμενα κομιδῇ τῶν νοτίων ἐπικρατούντων, τρίτον δὲ τὸ τὴν ἡμέραν ἐλάττονα γίγνεσθαι τῆς νυκτός, ἐπὶ πᾶσι δ' ἡ τῆς γῆς ἀπογύμνωσις ἅμα τῇ τῶν φυτῶν ψιλότητι τηνικαῦτα φυλλορροούντων. τῇ δ' ἐνάτῃ ἐπὶ δέκα νυκτὸς ἐπὶ θάλασσαν κατίασι· καὶ τὴν ἱερὰν κίστην οἱ στολισταὶ καὶ οἱ ἱερεῖς ἐκφέρουσι χρυσοῦν ἐντὸς ἔχουσαν κιβώτιον, εἰς ὃ ποτίμου λαβόντες ὕδατος ἐγχέουσι, καὶ γίγνεται κραυγὴ τῶν παρόντων ὡς εὑρημένου τοῦ Ὀσίριδος· εἶτα γῆν κάρπιμον φυρῶσι τῷ ὕδατι, καὶ συμμίξαντες ἀρώματα καὶ θυμιάματα τῶν πολυτελῶν ἀναπλάττουσι μηνοειδὲς ἀγαλμάτιον· καὶ τοῦτο στολίζουσι καὶ κοσμοῦσιν, ἐμφαίνοντες ὅτι γῆς οὐσίαν καὶ ὕδατος τοὺς θεοὺς τούτους νομίζουσι.

ib. 42: ἑβδόμῃ ἐπὶ δέκα τὴν Ὀσίριδος γενέσθαι τελευτὴν Αἰγύπτιοι μυθολογοῦσιν, ἐν ᾗ μάλιστα γίγνεται πληρουμένη κατάδηλος ἡ πανσέληνος. διὸ καὶ τὴν ἡμέραν ταύτην ἀντίφραξιν οἱ Πυθαγόρειοι καλοῦσι καὶ ὅλως τὸν ἀριθμὸν τοῦτον ἀφοσιοῦνται. τοῦ γὰρ ἑξκαίδεκα τετραγώνου καὶ τοῦ ὀκτωκαίδεκα ἑτερομήκους, οἷς μόνοις ἀριθμῶν ἐπιπέδων συμβέβηκε τὰς περιμέτρους ἴσας ἔχειν τοῖς περιεχομένοις ὑπ' αὐτῶν χωρίοις, μέσος ὁ τῶν ἑπτακαίδεκα παρεμπίπτων ἀντιφράττει καὶ διαζεύγνυσιν ἀπ' ἀλ-

λήλων καὶ διαιρεῖ τὸν ἐπόγδοον λόγον εἰς ἄνισα διαστήματα τεμνόμενος. ἐτῶν δ' ἀριθμὸν οἱ μὲν βιῶσαι τὸν Ὄσιριν οἱ δὲ βασιλεῦσαι λέγουσιν ὀκτὼ καὶ εἴκοσι· τοσαῦτα γάρ ἐστι φῶτα τῆς σελήνης καὶ τοσαύταις ἡμέραις τὸν αὑτῆς κύκλον ἐξελίσσει. τὸ δὲ ξύλον ἐν ταῖς λεγομέναις Ὀσίριδος ταφαῖς τέμνοντες κατασκευάζουσι λάρνακα μηνοειδῆ διὰ τὸ τὴν σελήνην, ὅταν τῷ ἡλίῳ πλησιάζῃ, μηνοειδῆ γιγνομένην ἀποκρύπτεσθαι. τὸν δ' εἰς δεκατέσσαρα μέρη τοῦ Ὀσίριδος διασπασμὸν αἰνίττονται πρὸς τὰς ἡμερας, ἐν αἷς φθίνει μετὰ πανσέληνον ἄχρι νουμηνίας τὸ ἄστρον. ἡμέραν δέ, ἐν ᾗ φαίνεται πρῶτον ἐκφυγοῦσα τὰς αὐγὰς καὶ παρελθοῦσα τὸν ἥλιον, 'ἀτελὲς ἀγαθόν' προσαγορεύουσιν. ὁ γὰρ Ὄσιρις ἀγαθοποιός, καὶ τοὔνομα πολλὰ φράζει, οὐχ ἥκιστα δὲ κράτος ἐνεργοῦν καὶ ἀγαθοποιὸν ὅ λέγουσι. τὸ δ' ἕτερον ὄνομα τοῦ θεοῦ τὸν Ὄμφιν εὐεργέτην ὁ Ἑρμαῖός φησι δηλοῦν ἑρμηνευόμενον.

ib. 43: οἴονται δὲ πρὸς τὰ φῶτα τῆς σελήνης ἔχειν τινὰ λόγον τοῦ Νείλου τὰς ἀναβάσεις. ἡ μὲν γὰρ μεγίστη περὶ τὴν Ἐλεφαντίνην ὀκτὼ γίγνεται καὶ εἴκοσι πήχεων, ὅσα φῶτα καὶ μέτρα τῶν ἐμμήνων περιόδων ἑκάστης ἔστιν· ἡ δὲ περὶ Μένδητα καὶ Ξόιν βραχυτάτη πήχεων ἓξ πρὸς τὴν διχότομον· ἡ δὲ μέση περὶ Μέμφιν, ὅταν ᾖ δικαία, δεκατεσσάρων πήχεων πρὸς τὴν πανσέληνον. τὸν δ' Ἆπιν εἰκόνα μὲν Ὀσίριδος ἔμψυχον εἶναι, γίγνεσθαι δέ, ὅταν φῶς ἐρείσῃ γόνιμον ἀπὸ τῆς σελήνης καὶ καθάψηται βοὸς ὀργώσης. διὸ καὶ τοῖς τῆς σελήνης σχήμασιν ἔοικε πολλὰ τοῦ Ἄπιδος, περιμελαινομένου τὰ λαμπρὰ τοῖς σκιεροῖς. ἔτι δὲ τῇ νου-

μηνίᾳ τοῦ Φαμενὼθ μηνὸς ἑορτὴν ἄγουσιν, „ἐμβασιν Ὀσίριδος εἰς τὴν σελήνην“ ὀνομάζοντες, ἔαρος ἀρχὴν οὖσαν. οὕτω τὴν Ὀσίριδος δύναμιν ἐν τῇ σελήνῃ τιθέντες τὴν Ἶσιν αὐτῷ γένεσιν οὖσαν συνεῖναι λέγουσι. διὸ καὶ μητέρα τὴν σελήνην τοῦ κόσμου καλοῦσι καὶ φύσιν ἔχειν ἀρσενόθηλυν οἴονται, πληρουμένην ὑφ' Ἡλίου και κυισκομένην, αὐτὴν δὲ πάλιν εἰς τὸν ἀέρα προϊεμένην γεννητικὰς ἀρχὰς καὶ κατασπείρουσαν· οὐ γὰρ ἀεὶ τὴν φθορὰν ἐπικρατεῖν τὴν τυφώνειον, πολλάκις δὲ κρατουμένην ὑπὸ τῆς γενέσεως καὶ συνδεομένην αὖθις ἀναλύεσθαι καὶ διαμάχεσθαι πρὸς τὸν Ὦρον. ἔστι δ' οὗτος ὁ περίγειος κόσμος οὔτε φθορᾶς ἀπαλλαττόμενος παντάπασιν οὔτε γενέσεως.

ib. 52: ἐν δὲ τοῖς ἱεροῖς ὕμνοις τοῦ Ὀσίριδος ἀνακαλοῦνται „τὸν ἐν ταῖς ἀγκάλαις κρυπτόμενον τοῦ ἡλίου“, καὶ τῇ τριακάδι τοῦ Ἐπιφὶ μηνὸς ἑορτάζουσιν „ὀφθαλμῶν Ὥρου γενέθλιον“, ὅτε σελήνη καὶ ἥλιος ἐπὶ μιᾶς εὐθείας γεγόνασιν, ὡς οὐ μόνον τὴν σελήνην ἀλλὰ καὶ τὸν ἥλιον ὄμμα τοῦ Ὥρου καὶ φῶς ἡγούμενοι. τῇ δὲ ὀγδόῃ φθίνοντος τοῦ Φαωφὶ „βακτηρίας ἡλίου γενέθλιον“ ἄγουσι μετὰ φθινοπωρινὴν ἰσημερίαν, ἐμφαίνοντες οἷον ὑπερείσματος δεῖσθαι καὶ ῥώσεως, τῷ τε θερμῷ γιγνόμενον καὶ τῷ φωτὶ ἐνδεᾶ, κλινόμενον καὶ πλάγιον ἀφ' ἡμῶν φερόμενον. ἔτι δὲ τὴν βοῦν ὑπὸ τροπὰς χειμερινὰς ἑπτάκις περὶ τὸν ναὸν τοῦ ἡλίου περιφέρουσι· καὶ καλεῖται „ζήτησις Ὀσίριδος“ ἡ περιδρομή, τὸ ὕδωρ χειμῶνος τῆς θεοῦ ποθούσης· τοσαυτάκις δὲ περίεισιν, ὅτι τὴν ἀπὸ τροπῶν χει-

22. γενέθλιον] γενέσθαι ὃς codd.

μερινῶν ἐπὶ τροπὰς θερινὰς πάροδον ἑβδόμῳ μη συμπεραίνει. λέγεται δὲ καὶ θῦσαι τῷ ἡλίῳ τετρά μηνὸς ἱσταμένου πάντων πρῶτος Ὧρος ὁ Ἴσιδο ὡς ἐν τοῖς ἐπιγραφομένοις Γενεθλίοις Ὥρου γέγραπ ται. καὶ μὴν ἡμέρας ἑκάστης τριχῶς ἐπιθυμιῶ τῷ ἡλίῳ, ῥητίνην μὲν ὑπὸ τὰς ἀνατολάς, σμύρ ναν δὲ μεσουρανοῦντι, τὸ δὲ καλούμενον κῦφι πε δυσμάς· ὧν ἕκαστον, ὃν ἔχει λόγον, ὕστερον ἀφη γήσομαι. τὸν δ' ἥλιον πᾶσι τούτοις προστρέπεσθ καὶ θεραπεύειν οἴονται. καὶ τί δεῖ πολλὰ τοιαῦτ συνάγειν; εἰσὶ γὰρ οἱ τὸν Ὄσιριν ἄντικρυς ἥλιο εἶναι καὶ ὀνομάζεσθαι σείριον ὑφ' Ἑλλήνων λέγοντε εἰ καὶ παρ' Αἰγυπτίοις ἡ πρόθεσις τοῦ ἄρθρου τοῦ νομα πεποίηκεν ἀμφιγνοεῖσθαι, τὴν δ' Ἶσιν οὐχ ἑτέ ραν τῆς σελήνης ἀποφαίνοντες· ὅθεν καὶ τῶν ἀγαλ μάτων αὐτῆς τὰ μὲν κερασφόρα τοῦ μηνοειδοῦ γεγονέναι μιμήματα, τοῖς δὲ μελανοστόλοις ἐμφαι νεσθαι τὰς κρύψεις καὶ τοὺς περισκιασμούς, ἐν οἷ διώκει ποθοῦσα τὸν ἥλιον. διὸ καὶ πρὸς τὰ ἐρωτικ τὴν σελήνην ἐπικαλοῦνται καὶ τὴν Ἶσιν Εὔδοξό φησι βραβεύειν τὰ ἐρωτικά. καὶ τούτοις μὲν ἀμω σγέπως τοῦ πιθανοῦ μέτεστι, τῶν δὲ Τυφῶνα πο ιούντων τὸν ἥλιον οὐδ' ἀκούειν ἄξιον.

ib. 73.... καὶ γὰρ ἐν Εἰλειθυίας πόλει ζῶντα ἀνθρώπους κατεπίμπρασαν, ὡς Μανεθὼς ἱστόρηκε Τυφωνείους καλοῦντες καὶ τὴν τέφραν αὐτῶν λικ μῶντες ἠφάνιζον καὶ διέσπειρον.

ib. 79.... ἀναστάντες εὐθὺς ἐπιθυμιῶσι ῥητίνη θεραπεύοντες καὶ καθαίροντες τὸν ἀέρα τῇ διακρίσ καὶ τὸ σύμφυτον τῷ σώματι πνεῦμα μεμαρασμένο

1. πάροδον] περίοδον Markland.

ἀναρριπίζοντες, ἐχούσης τι τῆς ὀσμῆς σφοδρὸν καὶ καταπληκτικόν. αὖθις δὲ μεσημβρίας αἰσθανόμενοι σφόδρα πολλὴν καὶ βαρεῖαν ἀναθυμίασιν ἀπὸ γῆς ἕλκοντα βίᾳ τὸν ἥλιον καὶ καταμιγνύοντα τῷ ἀέρι τὴν σμύρναν ἐπιθυμιῶσι.

ib. 80.... ἄνευ δὲ τούτων ῥηνίνη μέν ἐστιν ἔργον ἡλίου καὶ σμύρνα πρὸς τὴν εἵλην τῶν φυτῶν ἐκδακρυόντων· τῶν δὲ τὸ κῦφι συντιθέντων ἔστιν, ἃ νυκτὶ χαίρει μᾶλλον, ὥσπερ ὅσα πνεύμασι ψυχροῖς καὶ σκιαῖς καὶ δρόσοις καὶ ὑγρότησι τρέφεσθαι πέφυκεν. ἐπεὶ τὸ τῆς ἡμέρας φῶς ἓν μέν ἐστι καὶ ἁπλοῦν καὶ τὸν ἥλιον ὁ Πίνδαρος ὁρᾶσθαί φησιν 'ἐρήμας δι' αἰθέρος', ὁ δὲ νυκτερινὸς ἀὴρ κρᾶμα καὶ σύμμιγμα πολλῶν γέγονε φώτων καὶ δυνάμεων, οἷον σπερμάτων εἰς ἓν ἀπὸ παντὸς ἄστρου καταρρεόντων, εἰκότως οὖν ἐκεῖνα μὲν ὡς ἁπλᾶ καὶ ἀφ' ἡλίου τὴν γένεσιν ἔχοντα δι' ἡμέρας, ταῦτα δ' ὡς μικτὰ καὶ παντοδαπὰ ταῖς ποιότησιν ἀρχομένης νυκτὸς ἐπιθυμιῶσιν.

225.

Tertullianus

(* Carthagine c. 160 — † post 220 p. Chr.)

adv. Marcion. 13 (Kroymann): sic et Osiris quod semper sepelitur et in vivido quaeritur et cum gaudio invenitur, reciprocarum frugum et vividorum elementorum et recidivi anni fidem argumentantur.

7. τὴν εἵλην] τὴν σελήνην codd.; τὸν ἥλιον Squire. 12. Cfr. Olymp. 1, 6.

226.

Lactantius

(* Tyri 233 — † 394 p. Chr.)

de abstin. 4, 9 (Nauck): ὥς που ἔτι καὶ νῦν ἐν τῇ ἀνοίξει τοῦ ἁγίου Σαράπιδος ἡ θεραπεία διὰ πυρὸς καὶ ὕδατος γίνεται, λείβοντος τοῦ ὑμνῳδοῦ τὸ ὕδωρ καὶ τὸ πῦρ φαίνοντος ὁπηνίκα ἑστὼς ἐπὶ τοῦ οὐδοῦ τῇ πατρίῳ τῶν Αἰγυπτίων φωνῇ ἐγείρει τὸν θεόν.

227.

Arnobius

(Siccae in Africa, aetate Diocletiani imp. vixit)

adv. nat. 32 (Reifferscheid): Quid sibi volunt excitationes illae quas canitis matutini conlatis ad tibiam vocibus? obdormiscunt enim superi remeare ut ad vigilias debeant? Quid dormitiones illae quibus ut bene valeant auspicabili salutatione mandatis?

228.

Porphyrius

(an. 325 p. Chr. obiit)

Div. Inst. Ep. 18 (23) (Brandt): Isidis sacra nihil aliud ostendunt nisi quemadmodum filium parvum qui dicitur Osiris perdiderit et invenerit. nam primo sacerdotes ac ministri derasis omnibus membris tunsisque pectoribus plangunt dolent quaerunt adfectum matris imitantes, postmodum puer per Cynocephalum invenitur. sic luctuosa sacra laetitia terminantur.

12. Osiris hic cum filio Horo confunditur.

III.

LITANIAE ISIDIS

229.

Diodorus Siculus

(* Agyrii c. 90 a. Chr. — † aetate Augusti imp.)

Dis | magnis | Matri deum et Attidi Se|xtilius Agesilaus Aedesius | u(ir) c(larissimus), causarum non ignobi|lis Africani tribunalis ora|tor et in consistorio | principum, item magiste|r libellor(um) et cognition(um) | sacrarum, magister epistu|lar(um), magister memoriae, | uicarius praefector(um) per | Hispanias uice s(acra) c(ognoscens), pa|ter patrum dei Solis inui|cti Mithrae, hierofanta | Hecatar(um), dei Liberi archi|bucolus, taurobolio | criobolioq(ue) in aeter|num renatus aram sacra|uit dd(ominis nn(ostris) Ualen|te V et Ualentiniano | iun(iore) Augg(ustis) conss. idib. | Augustis.

290.

Titulus

(An. 289 p. Chr. scriptus)

CIL, X, 3698... ll. 16–30: XV SAC FAC pr(aetoribus) et magistratibus Cuman(is), sal|(utem). Cum ex epistula vestra cognove|rimus creasse vos sacerdotem| matris Deum Licinium Secundum|, in locum Claudi Restituti defunc|(ti) cui secundum voluntatem ve-

290. et *290. a* Prope castellum Baianum inventus supplementa sunt sectionis II, de Attidis sacris.

stra|(m) permisimus ei occavo et| corona, dum taxat intra| fines coloniae vestrae, uti|. Optamus vos bene valere. Pontius Gavius Maximus| Pro|Magistro suscripsi XVI Kal| septembres M. Umbrio Primo| T. Fl. Coeliano cos.

290 a.

Titus Livius

(* Patavii 59 a. Chr. — 17 p. Chr.)

Histor. 29,10 (Weissenborn-Müller): civitatem eo tempore repens religio invaserat invento carmine in libris Sibyllinis propter crebrius eo anno de caelo lapidatum inspectis, quandoque hostis alienigena terrae Italiae bellum intulisset, eum pelli Italia vincique posse, si mater Idaea a Pessinunte Romam advecta foret.

.... 14. (P. Corn.) postquam navis ad ostium amnis Tiberini accessit, sicut erat iussus, in salum nave evectus ab sacerdotibus deam accepit extulitque in terram. matronae primores civitatis, inter quas unius Claudiae Quintae insigne est nomen, accepere; cui dubia, ut traditur, antea fama clariorem ad posteros tam religioso ministerio pudicitiam fécit. eae per manus succedentes deinde aliae aliis, omni obviam effusa civitate, turibulis ante ianuas positis, qua praeferebatuf, atque accenso ture, precantes, ut volens propitiaque urbem Romanam iniret, in aedem Victoriae, quae est in Palatio, pertulere deam pr. non. Apr, isque dies festus fuit. populus frequens dona deae in Palatium tulit, lectisterniumque et ludi fuere, Megalensia appellata.

VII

DE MYSTERIIS ADONIDIS ET ASTARTES

I.

DE ADONIDIS MYTHO

291.

(Pseudo) Apollodorus

(Auctor primis imp. Rom. saeculis vixit)

Biblioth. 3, 14, 4 (Bekker): Ἄδωνις δὲ ἔτι παῖς ὢν Ἀρτέμιδος χόλῳ πληγεὶς ἐν θήραις ὑπὸ συὸς ἀπέθανεν. Ἡσίοδος δὲ αὐτὸν Φοίνικος καὶ Ἀλφεσβοίας λέγει, Πανύασις δέ φησι Θείαντος βασιλέως Ἀσσυρίων, ὃς ἔσχε θυγατέρα Σμύρναν. αὕτη κατὰ μῆνιν Ἀφροδίτης, (οὐ γὰρ αὐτὴν ἐτίμα) ἴσχει τοῦ πατρὸς ἔρωτα, καὶ συνεργὸν λαβοῦσα τὴν τροφὸν ἀγνοοῦντι τῷ πατρὶ νύκτας δώδεκα συνευνάσθη. ὁ δὲ ὡς ᾔσθετο, σπασάμενος ξίφος ἐδίωκεν αὐτήν. ἡ δὲ περικαταλαμβανομένη θεοῖς ηὔξατο ἀφανὴς γενέσθαι. θεοὶ δὲ κατοικτείραντες αὐτὴν εἰς δένδρον μετήλλαξαν, ὃ καλοῦσι σμύρναν. δεκαμηνιαίῳ δὲ ὕστερον χρόνῳ, τοῦ δένδρου ῥαγέντος, γεννηθῆναι τὸν λεγόμενον Ἄδωνι, ὃν Ἀφροδίτη διὰ κάλλος ἔτι νήπιον, κρύφα θεῶν, εἰς λάρνακα κρύψασα Περσεφόνῃ παρίστατο. ἐκείνη δὲ ὡς ἐθεάσατο, οὐκ ἀπεδίδου. κρίσεως δὲ ἐπὶ Διὸς γενομένης, εἰς μοίρας διῃρέθη ὁ ἐνιαυτός, καὶ μίαν μὲν παρ᾽ ἑαυτῷ μένειν τὸν Ἄδωνιν, μίαν δὲ παρὰ Περσεφόνῃ προσέταξε, τὴν δὲ ἑτέραν παρ᾽ Ἀφροδίτῃ. ὁ δὲ Ἄδωνις ταύτῃ προσένειμε καὶ τὴν ἰδίαν μοῖραν. ὕστερον δὲ θηρεύων Ἄδωνις ὑπὸ συὸς πληγεὶς ἀπέθανε.

II.

DE ADONIDIS SACRIS

292.

Aristophanes

(* Athenis c. 450 — † 388 a Chr.)

Lysistr. 387–396 (Bergk):

ἆρ' ἐξέλαμψε τῶν γυναικῶν ἡ τρυφὴ
χὠ τυμπανισμὸς χοἰ πυκνοὶ Σαβάζιοι,
ὅ τ' Ἀδωνιασμὸς οὗτος οὑπὶ τῶν τεγῶν,
οὗ' γώ ποτ' ὢν ἤκουον ἐν τἠκκλησίᾳ;
ἔλεγεν δ' ὁ μὴ ὥρασι μὲν Δημόστρατος
πλεῖν εἰς Σικελίαν, ἡ γυνὴ δ' ὀρχουμένη,
αἰαῖ Ἄδωνιν, φησίν, ὁ δὲ Δημόστρατος
ἔλεγεν ὁπλίτας, καταλέγειν ζακυνθίων·
ἡ δ' ὑποπεπωκυῖ', ἡ γυνὴ 'πὶ τοῦ τέγους,
κόπτεσθ' Ἄδωνιν, φησίν.

293.

Plato

(* Athenis 488 — † 347 a. Chr.)

Phaedr. 276 B (Hermann): ὁ νοῦν ἔχων γεωργός, ὧν σπερμάτων κήδοιτο καὶ ἔγκαρπα βούλοιτο γενέσθαι, πότερα σπουδῇ ἂν θέρους εἰς Ἀδώνιδος κήπους ἀρῶν χαίροι θεωρῶν καλοὺς ἐν ἡμέραισιν ὀκτὼ γιγνομένους ἢ ταῦτα μὲν δὴ παιδιᾶς τε καὶ ἑορτῆς χάριν δρῴη ἄν, ὅτε καὶ ποιοῖ.

294.

Theocritus

(* Syracusae saec. III a. Chr. ineunte vixit)

Idyll. 15, 109–144 (Ahrens):

τὶν δὲ χαριζομένα, πολυώνυμε καὶ πολύναε,
ἁ Βερενικεία θυγάτηρ Ἑλένῃ εἰκυῖα
Ἀρσινόα πάντεσσι καλοῖς ἀτιτάλλει Ἄδωνιν.
Πὰρ μὲν οἱ ὥρια κεῖται, ὅσα δρυὸς ἄκρα φέρονται,
πὰρ δ' ἁπαλοὶ κᾶποι πεφυλαγμένοι ἐν ταλαρίσκοις
ἀργυρέοις, Συρίω δὲ μύρω χρύσει' ἀλάβαστρα.
εἴδατα δ' ὅσσα γυναῖκες ἐπὶ πλαθάνῳ πονέονται,
ἄνθεα μίσγοισαι λευκῷ παντοῖα μαλεύρῳ
ὅσσα τ' ἀπὸ γλυκερῶ μέλιτος τά τ' ἐν ὑγρῷ ἐλαίῳ,
πάντ' αὐτῷ πετεεινὰ καὶ ἑρπετὰ τεῖδε πάρεστι.
Χλωραὶ δὲ σκιάδες μαλακῷ βρίθοντες ἀνήθῳ
δέδμανθ'. οἱ δ' ἔτι κῶροι ὑπερπωτῶνται Ἔρωτες,
οἷοι ἀηδονιδῆες ἀεξομενᾶν ἐπὶ δένδρει
πωτῶνται πτερύγων πειρώμενοι ὄζον ἀπ' ὄζω.
Ὦ ἔβενος, ὢ χρυσός, ὢ ἐκ λευκῶ ἐλέφαντος
αἰετοὶ οἰνοχόον Κρονίδᾳ Διὶ παῖδα φέροντες,
πορφύρεοι δὲ τάπητες ἄνω μαλακώτεροι ὕπνω.
ἁ Μιλατὶς ἐρεῖ χὠ, τὰν Σαμίαν καταβόσκων·
« ἔστρωται κλίνα τῷ Ἀδώνιδι τῷ καλῷ ἁμά »
τὰν μὰν Κύπρις ἔχει, τὰν δ' ὁ ῥοδόπαχυς Ἄδωνις·
οὐ κεντεῖ τὸ φίλημ', ἔτι οἱ περὶ χείλεα πυρρά.
Νῦν μὰν Κύπρις ἔχοισα τὸν αὐτᾶς χαιρέτω ἄνδρα·
ἀῶθεν δ' ἁμὲς νιν ἅμα δρόσῳ ἀθρόαι ἔξω

19. Μιλατίς dorice pro Μιλησίς. Nam lana Samia et textrices Milesiae optimae erant. 21. v. 129: ὀκτωκαιδεκέτης ἢ ἐννεακαιδεχ' ὁ γαμβρός expunsit Ahrens.

οἰσεῦμες ποτὶ κύματ' ἐπ' αἰόνι πτύοντα
λύσασαι δὲ κόμαν καὶ ἐπὶ σφυρὰ κόλπον ἀνεῖσαι
στήθεσι φαινομένοις λιγυρᾶς ἀρξώμεθ' ἀοιδᾶς.
« Ἕρπεις, ὦ φίλ' Ἄδωνι, καὶ ἐνθάδε κεἰς Ἀχέροντα
ἡμιθέων, ὡς φαντί, μονώτατος. οὔτ' Ἀγαμέμνων
τοῦτ' ἔπαθ' οὔτ Αἴας ὁ μέγας βαρυμάνιος ἥρως,
οὔθ' Ἕκτωρ Ἑκάβας ὁ γεραίτερος εἴκατι παίδων,
οὐ Πατροκλῆς, οὐ Πύρρος ἀπὸ Τροίας πάλιν ἐνθών,
οὔθ' οἱ ἔτι πρότερον Λαπίθαι καὶ Δευκαλίωνες,
οὐ Πελοπηϊάδαι τε καὶ Ἄργεος ἄκρα Πελασγῶ.
ἵλαθι νῦν φίλ' Ἄδωνι, καὶ ἐς νέωτ' εὐθυμήσαις.
καὶ νῦν ἦνθες Ἄδωνι καὶ ὄκκ' ἀφίκῃ, φίλος εἰξεῖς ».

295.

Papyrus

(An. c. 250 a. Chr.)

Flinders Petrie Papyri III (1905) n. 142 (Mahaffy et Smyly):

Ζ	στεφάνια τῶι Ἀδώ|νει	(oboli tres et semis)
	ἐργάτηι	(obolus dimidius)
	χορδαί	(drachma una et obolus dimidius)

295. Pap. in Aegypto (in reg. Fayyum) inventus. Continet notulam pecuniae ab ignoto quodam erogatae dieb. VII, VIII, IX, mense haud notato, cum sacra Adonidis celebrarentur. Deficientibus in officina typis numeralibus graecis, soluta praetia latino sermone inter ( ) notavi. Lineae 19 praecedentes, hic omissae, ad impendia die antecedente apud tonsorem, pomarium, facta referuntur.

/ιδ = (drachmae quatuordecim et oboli duo)
Η εἰς βαλανεῖον (oboli pars quarta)
λάχανα (oboli pars quarta)
Θ ὕδωρ (oboli pars quarta)
εἰς δεικτήριον (oboli duo)
στεφάνοι (obolus unus)

296.

Lucianus

(* Samosatae c. 125 — † c. 192 p. Chr.)

de Syria dea 6 (Iacobitz):

6. εἶδον δὲ καὶ ἐν Βύβλῳ μέγα ἱρὸν Ἀφροδίτης Βυβλίης, ἐν τῷ καὶ τὰ ὄργια ἐς Ἄδωνιν ἐπιτελέουσι. ἐδάην δὲ καὶ τὰ ὄργια. λέγουσι γὰρ δὴ ὦν τὸ ἔργον τὸ ἐς Ἄδωνιν ὑπὸ τοῦ συός, ἐν τῇ χώρῃ τῇ σφετέρῃ γενέσθαι καὶ μνήμην τοῦ πάθεος τύπτονταί τε ἑκάστου ἔτεος καὶ θρηνέουσι καὶ τὰ ὄργια ἐπιτελέουσι, καί σφίσι μεγάλα πένθεα ἀνὰ τὴν χώρην ἵσταται. ἐπεὰν δὲ ἀποτύψωνταί τε καὶ ἀποκλαύσωνται, πρῶτα μὲν καταγίζουσι τῷ Ἀδώνιδι, ὅκως ἐόντι νέκυι, μετὰ δὲ τῇ ἑτέρῃ ἡμέρῃ, ζώειν τέ μιν μυθολογέουσι καὶ ἐς τὸν ἠέρα πέμπουσι, καὶ τὰς κεφαλὰς ξυρέονται, ὅκως Αἰγύπτιοι, ἀποθανόντος Ἄπιος. γυναικῶν δὲ ὁκόσαι οὐκ ἐθέλουσι ξυρέεσθαι, τοιήνδε ζημίην ἐκτελέουσιν. ἐν μιῇ ἡμέρῃ

1. ιδ=] dr. 14 ob. 2, repraesentat solidum dier. VI (cuius sumptus hic omissi) et VII.

ἐπὶ πρήσι τῆς ὥρης ἵστανται, ἡ δὲ ἀγορὴ μούνοισι ξείνοισι παρακέεται, καὶ ὁ μισθὸς ἐς τὴν Ἀφροδίτην θυσίη γίγνεται.

297.

Athenaeus

(* Naucrati, ineunte saec. III p. Chr. vixit)

Deipn. 4, 174 f. (Kaibel): ὀνομάζονται δὲ οἱ αὐλοὶ γίγγροι ὑπὸ τῶν Φοινίκων ἀπὸ τῶν περὶ Ἄδωνιν θρήνων· τὸν γὰρ Ἄδωνιν Γίγγρην καλεῖτε ὑμεῖς οἱ Φοίνικες, ὡς ἱστορεῖ Δημοκλείδης.

298.

Origenes

(* Alexandriae 185 — † Tyri 254 p. Chr.)

in Ezechiel. 8,14 (ed. Migne): τὸν λεγόμενον παρ' Ἕλλησιν Ἄδωνιν Θαμμούζ φασι καλεῖσθαι παρ' Ἑβραίοις καὶ Σύροις. ὡς οὖν ἐπὶ τῇ λέξει ἑωρῶντο αἱ γυναῖκες ἐπὶ τὰ πρόθυρα τῆς πύλης οἴκου Κυρίου βλεπούσης πρὸς βορρᾶν καθήμεναι καὶ κατά τι ἐθνικὸν ἔθος τῶν ἔξω τῆς θεοσεβείας θυρῶν θρηνοῦσαι τὸν Θαμμούζ. δοκοῦσι γὰρ κατ' ἐνιαυτὸν τελετάς τινας ποιεῖν, πρῶτον μὲν ὅτι θρηνοῦσιν αὐτὸν ὡς τεθνηκότα. δεύτερον δὲ ὅτι χαίρουσιν ἐπ' αὐτῷ ὡς ἀπὸ νεκρῶν ἀναστάντι. οἱ δὲ περὶ τὴν ἀναγωγὴν τῶν Ἑλληνικῶν μύθων δεινοὶ καὶ μυθικῆς νομιζομένης θεολογίας φασὶ τὸν Ἄδωνιν σύμβολον εἶναι τῶν τῆς γῆς καρπῶν, θρηνουμένων μὲν ὅτε σπείρονται, ἀνισταμένων δέ, καὶ διὰ τοῦτο χαίρειν ποιούντων τοὺς γεωργοὺς ὅτε φύονται.

299.

Hieronymus

(* Stridone c. 340 — † 420 p. Chr.)

in Ezechiel. 8, 14 (ed. Migne): quem nos Adonidem interpretati sumus et Hebraeus et Syrus sermo Thamuz vocat: unde quia iuxta gentilem fabulam in mense Iunio amasius Veneris pulcherrimus iuvenis occisus et deinceps revixisse narratur, eumdem Iunium mensem eodem appellant nomine et anniversariam ei celebrant solemnitatem in qua plangitur a mulieribus quasi mortuus et postea reviviscens canitur atque laudatur... quia eadem gentilitas huiuscemodi fabulas poetarum quae habent turpitudinem interpretatur subtiliter, interfectionem et resurrectionem Adonidis planctu et gaudio prosequens: quorum alterum in seminibus quae moriuntur in terra, alterum in segetibus, quibus mortua semina renascuntur ostendi putat.

300.

Cyrillus Alexandrinus

(* Alexandriae — † 440 p. Chr.)

in Isaiam 18, 1, 2 (ed. Migne):

ἐπλάττοντο τοίνυν Ἕλληνες ἑορτὴν ἐπί τούτῳ τοιαύτην. προσεποιοῦντο μὲν γὰρ λυπουμένῃ τῇ Ἀφροδίτῃ, διὰ τὸ τεθνάναι τὸν Ἄδωνιν, συνολοφύρεσθαι καὶ θρηνεῖν. ἀνελθούσης δὲ ἐξ ᾅδου, καὶ μὴν καὶ ηὑρῆσθαι λεγούσης τὸν ζητούμενον, συνήδεσθαι καὶ ἀνασκιρτᾶν· καὶ μέχρι τῶν καθ' ἡμᾶς καιρῶν ἐν τοῖς κατ' Ἀλεξάνδρειαν ἱεροῖς ἐτελεῖτο τὸ παίγνιον τοῦτο.

301.

Hesychius

(* Alexandriae saec. x p. Chr. vixit)

Lex. (M. Schmidt) s. v. Ἀδώνιδος κῆποι. ἐν τοῖς Ἀδωνίοις εἴδωλα ἐξάγουσιν καὶ κήπους ἐπ' ὀστράκων καὶ παντοδαπὴν, ὀπώραν, οἷον ἐκ μαράθρων καὶ θριδάκων παρασκευάζουσιν αὐτῷ τοὺς κήπους. καὶ γὰρ ἐν θριδακίναις αὐτὸν κατακλινθῆναι ὑπὸ Ἀφροδίτης φασίν.

III.

DE ASTARTES (APHRODITES) CULTU

302.

Herodotus

(* Halicarnassi c. 480 — † c. 426 a. Chr.)

1, 105 (Dietsch-Kallenberg): οἱ δὲ ἐπείτε ἀναχωρέοντες ὀπίσω ἐγίνοντο τῆς Συρίης ἐν Ἀσκάλωνι πόλι, τῶν πλεόνων Σκυθέων παρεξελθόντων ἀσινέων ὀλίγοι τινὲς αὐτῶν ὑπολειφθέντες ἐσύλησαν τῆς οὐρανίης Ἀφροδίτης τὸ ἱρόν. ἔστι δὲ τοῦτο τὸ ἱρὸν, ὡς ἐγὼ πυνθανόμενος εὑρίσκω, πάντων ἀρχαιότατον ἱρῶν, ὅσα ταύτης τῆς θεοῦ. καὶ γὰρ τὸ ἐν Κύπρῳ ἱρὸν ἐνθεῦτεν ἐγένετο, ὡς αὐτοὶ Κύπριοι λέγουσι, καὶ τὸ ἐν Κυθήροισι Φοίνικές εἰσι οἱ ἱδρυσάμενοι ἐκ ταύτης τῆς Συρίης ἐόντες· τοῖσι δὲ τῶν Σκυθέων συλήσασι τὸ ἱρὸν τὸ ἐν Ἀσκάλωνι καὶ τοῖσι τούτων αἰεὶ ἐνέσκηψε ὁ θεὸς θήλεαν νοῦσον.

303.
Lucianus
(* Samosatae c. 125 — † c. 192 p. Chr.)

de Syria dea 4 (Iacobitz):

4. ἔνι δὲ καὶ ἄλλο ἱρὸν ἐν Φοινίκῃ μέγα, τὸ Σιδώνιοι ἔχουσιν, ὡς μὲν αὐτοὶ λέγουσι, Ἀστάρτης ἐστίν. Ἀστάρτην δ' ἐγὼ δοκέω Σεληναίην ἔμμεναι.

304.
Pausanias
(Exeunte saec. II p. Chr. vixit)

Gr. descr. 1, 14, 6 (Spiro): πλησίον δὲ ἱερόν ἐστιν Ἀφροδίτης Οὐρανίας. πρώτοις δὲ ἀνθρώπων Ἀσσυρίοις κατέστη σέβεσθαι τὴν Οὐρανίαν, μετὰ δὲ Ἀσσυρίους Κυπρίων Παφίοις καὶ Φοινίκων τοῖς Ἀσκάλωνα ἔχουσιν ἐν τῇ Παλαιστίνῃ, παρὰ δὲ Φοινίκων Κυθήριοι μαθόντες σέβουσιν.

IV.
DE ATARGATI SYRIA DEA

305.
Xanthus Lydius
(Saec. V ineunte a. Chr. vixit)

Fragm. 11 (C. Müller): ἡ δέ γε Ἀτεργάτις, ὥσπερ Ξάνθος λέγει ὁ Λυδός, ὑπὸ Μόψου τοῦ Λυδοῦ ἁλοῦσα, κατεποντίσθη μετὰ Ἰχθύος τοῦ υἱοῦ ἐν τῇ περὶ Ἀσκάλωνα λιμνῃ διὰ τὴν ὕβριν, καὶ ὑπὸ τῶν ἰχθύων κατεβρώθη.

305. Fragm. apud Athen. 8, 37, p 346 D. Cfr. Diod. 2, 43; Ovid Met. 4, 46; 5, 331.

306.

Ctesias

(* Cnidi c. 435 — † c. 380 a. Chr.)

in (Pseudo) Eratosth. Catast. 38 (Olivieri):

ἱστορεῖται δ' οὗτος (Ἰχθύς) ὡς Κτησίας φησί, πρότερον ἐν λίμνῃ τινὶ κατὰ τὴν Βαμβύκην εἶναι· ἐμπεσούσης δὲ τῆς Δερκετοῦς νυκτός, ἣν οἱ περὶ τοὺς τόπους οἰκοῦντες Συρίαν ὠνόμασαν θεόν, οὗτος δοκεῖ σῶσαι αὐτὴν τούτου δὲ καὶ τοὺς δύο φασὶν Ἰχθύας ἐγγόνους εἶναι· οὓς πάντας δι' ἐκείνην Ἀφροδίτης οὖσαν θυγατέρα καὶ ἐτίμησαν καὶ ἐν τοῖς ἄστροις ἔθηκαν· ποιοῦσι δὲ οἱ τὴν χώραν ἐκείνην κατοικοῦντες χρυσοῦς τε καὶ ἀργυροῦς ἰχθύας καί ὡς ἱεροὺς τιμῶσι τελείαν περὶ τοῦ συμπτώματος τιμήν.

307.

Nigidius Figulus

(† 47 a. Chr.)

in Hyg. Fab. 197:

In Euphratem flumen de caelo ovum mira magnitudine cecidisse dicitur, quem pisces ad ripam evolverunt: super quod columbae consederunt, et excalfactum exclusisse Venerem quae postea dea Syria est adpellata et iustitia et probitate cum caeteros exsuperasset, ab Iove optione data pisces in astrorum numerum relati sunt, et ab id Syri pisces et columbas ex deorum numero habent, non edunt.

306. Cfr. etiam: Schol. Germ. 176; Hyg. Astr. 2,41. *307.* Cfr. etiam: Amp. 2, 12; Schol. Germ. 81, 145.

308.

Apuleius

(* Madaurae in Africa, saec. II medio p. Chr. vixit)

Met. 8, 24 (van der Vliet): scitote qualem (asini emptorem): cinaedum et senem cinaedum, caluum quidem sed cincinnis semicanis et pendulis capillatum, unum de triviali popularium faece, qui per plateas et oppidà cymbalis et crotalis personantes Deamque Syriam circumferentes mendicare compellunt.

309.

Titulus

(Saec. III medio p. Chr.)

CIL, VI, 32316:

D (is) Manibus) s (acrum)
Ἐνθάδε Γαιωνᾶς, ὃς κίστιβερ ἦν ποτε Ῥώμης
καὶ δείπνοις κρείνας· πολλὰ μετ' εὐφροσύνης
κεῖμαι τῷ θανάτῳ μηδὲν ὀφειλόμενος
Gaionas animula

310.

Mnaseas

(* Patrae in Achaia saec. III p. Chr. vixit)

Fragm. 32 (C. Müller): Μνασέας δὲ ἐν δευτέρῳ περὶ Ἀσίας φησὶν οὕτως· « ἐμὸι μὲν ἡ Ἀτεργάτις

10. Gaionas, Syrus, cistiber Augustorum Romae aetate Commodi imp. vixit. κίστιβερ] κίστιφερ propos. Wilamowitz et Gaukler; at perperam cum cistiferi seu cistarum baiulatores tantum mysteriorum proprii sint nec in cultibus publicis Romae vel Augusti inveniantur. 11. δείπνοις κ.είνας] iudex seu magister mysticus (δειπνοκρίτης) conviviorum quae in cultis mysticis parabantur Gaionas fuit.

δοκεῖ χαλεπὴ βασίλισσα γεγονέναι, καὶ τῶν λαῶν σκληρῶς ἐπεστατηκέναι, ὥστε καὶ απονομίσαι αὐτοῖς ἰχθὺν μὴ ἐσθίειν, ἀλλὰ πρὸς αὐτὴν ἀναφέρειν, διὰ τὸ ἀρέσαι αὐτῇ τὸ βρῶμα· καὶ διὰ τόδε νόμιμον ἔτι διαμένειν, ἐπὰν εὔξωνται τῇ θεῷ, ἰχθῦς ἀργυροῦς ἢ χρυσοῦς ἀνατιθέναι. τοὺς δὲ ἱερεῖς πᾶσαν ἡμέραν τῇ θεῷ ἀληθινοὺς ἰχθοῦς ἐπὶ τὴν τράπεζαν ὀψοποιησαμένους παρατιθέναι, ἑφθούς τε ὁμοίως καὶ ὀπτούς, οὓς δὴ αὐτοὶ καταναλίσκουσιν οἱ τῆς θεοῦ ἱερεῖς »

311.

Eunapius

(* Sardis c. 347 — † post 414 p. Chr.)

Fr. 94 (C. Müller): τῶν αὐτῶν ἐθῶν γυναῖκά τινα στείλας ἐσθῆτι λευκῇ καὶ στέμμασιν, ὡς δὴ μελεδωνὸν οὖσαν τῆς Συρίας οὕτω δὴ καλουμένης θεοῦ.

V.

DE SANCTUARIO HIERAPOLITANO

312.

Strabo

(* Amaseae Ponti c. 60 a. Chr. — † c. 25 p. Chr.)

Geogr. 16, 1, 27 (Meineke): ὑπέρκειται δὲ τοῦ ποταμοῦ (Εὐφράτου) σχοίνους τέτταρας διέχουσα ἡ Βαμβύκη, ἣν καὶ Ἔδεσσαν καὶ Ἱερὰν πόλιν καλοῦσιν, ἐν ᾗ τιμῶσι τὴν Συρίαν θεὸν τὴν Ἀταργάτιν.

311. Fragm. ab Athenaeo Deipn. 8 p. 946 D servatum.

313.

C. Plinius Secundus

(* Comi 23 — † 79 p. Chr.)

Hist. nat. 5, 81 (Mayhoff): Coele habet... Bambycen, quae alio nomine Hierapolis vocatur, Syris vero Mabog — ibi prodigiosa Atargatis, Graecis autem Derceto dicta colitur —.

32, 17 (Mayhoff): Hieropoli Syriae in lacu Veneris aedituorum vocibus (pisces) parent, vocati veniunt exornati auro, adulantes scalpuntur, ora hiantia manibus inserendis praebent.

314.

Lucianus

(* Samosatae c. 125 — † c. 192 p. Chr.)

de Syria dea 1 (Iacobitz):

Ἔστιν ἐν Συρίῃ πόλις οὐ πολλὸν ἀπὸ τοῦ Εὐφρήτεω ποταμοῦ, καλέεται δὲ Ἱρή, καὶ ἔστιν ἱρὴ τῆς Ἥρης τῆς Ἀσσυρίης. δοκέει δέ μοι, τόδε τὸ οὔνομα οὐκ ἅμα τῇ πόλι οἰκεομένῃ ἐγένετο, ἀλλὰ τὸ μὲν ἀρχαῖον ἄλλο ἦν· μετὰ δέ σφισί τῶν ἱρῶν μεγάλων γιγνομένων, ἐς τόδε ἡ ἐπωνυμίη ἀπίκετο. περὶ ταύτης ὦν τῆς πόλιος ἔρχομαι ἐρέων, ὁκόσα ἐν αὐτῇ ἐστι. ἐρέω δὲ καὶ νόμους, τοῖσιν ἐς τὰ ἱρὰ χρέονται, καὶ πανηγύριας τὰς ἄγουσι καὶ θυσίας τὰς ἐπιτελέουσιν. ἐρέω δέ, ὁκόσα καὶ περὶ τῶν το ἱρὸν εἰσαμένων μυθολογέουσι, καὶ τὸν νηόν, ὅκως ἐγένετο. γράφω δὲ Ἀσσύριος ἐών, καὶ τῶν ἀπηγέ-

Hieropoli] hierapoli R(iccardianus) adulantes] adorantes V(ossianus) et R.

ομαι τὰ μὲν αὐτοψίῃ ἔμαθον, τὰ δὲ παρὰ τῶν ἱρέων ἐδάην, ὁκόσα, ἐόντα ἐμεῦ πρεσβύτερα, ἐγὼ ἱστορέω.

315.
Lucianus

de Syria dea 10 (Iacobitz):

10. τουτέων δὲ ἐόντων, ἐμοὶ δοκέει, οὐδὲν τῶν ἐν τῇ ἱρῇ πόλι μεῖζον ἔμμεναι οὐδὲ νηὸς ἄλλος ἁγιώτερος οὐδὲ χώρη ἄλλη ἱροτέρη. ἔνι δὲ καὶ ἔργα ἐν αὐτῷ πολυτελέα, καὶ ἀρχαῖα ἀναθήματα, καὶ πολλὰ θωύματα, καὶ ξόανα θεοπρεπέα καὶ θεοὶ δὲ κάρτα αὐτοῖσιν ἐμφανέες. ἱδρώει γὰρ δὴ ὦν παρὰ σφίσι τὰ ξόανα, καὶ κινέεται καὶ χρησμηγορέει· καὶ βοὴ δὲ πολλάκις ἐγένετο ἐν τῷ νηῷ, κλεισθέντος τοῦ ἱροῦ, καὶ πολλοὶ ἤκουσαν· ναὶ μὴν καὶ ὄλβου πέρι ἐν τοῖσιν ἐγὼ οἶδα πρῶτόν ἐστι. πολλὰ γὰρ αὐτοῖσιν ἀπικνέεται χρήματα, ἔκ τε Ἀραβίης, καὶ Φοινίκων, καὶ Βαβυλωνίων, καὶ ἄλλα ἐκ Καππαδοκίης, τὰ δὲ καὶ Κίλικες φέρουσι, τὰ δὲ Ἀσσύριοι. εἶδον δὲ ἐγὼ καὶ τὰ ἐν τῷ νηῷ λάθρῃ ἀποκέαται, ἐσθῆτα πολλὴν καὶ ἄλλα ὁκόσα ἐς ἄργυρον ἢ ἐς χρυσὸν ἀποκέκριται· ὁρταὶ μὲν γὰρ καὶ πανηγύριες οὐδαμοῖσιν ἄλλοισιν ἀνθρώπων τοσαίδε ἀποδεδέχαται.

316.
Lucianus

de Syria dea 13–14 (Iacobitz):

13. τὸ δὲ ἀπὸ τούτου λέγεται λόγος ὑπὸ τῶν ἐν τῇ ἱρῇ πόλι μεγάλως ἄξιος θωυμάσαι, ὅτι ἐν τῇ σφετέρῃ χώρῃ, χάσμα μέγα ἐγένετο καὶ τὸ

σύμπαν ὕδωρ κατεδέξατο. Δευκαλίων δὲ, ἐπεὶ τάδε ἐγένετο, βωμούς τε ἔθετο, καὶ νηὸν ἐπὶ τῷ χάσματι Ἥρης ἅγιον ἐστήσατο. ἐγὼ δὲ καὶ τὸ χάσμα εἶδον, καὶ ἔστιν ὑπὸ τῷ νηῷ κάρτα μικρόν. εἰ μὲν ὦν, πάλαι καὶ μέγα ἐὸν, νῦν τοιόνδε ἐγένετο, οὐκ οἶδα. τὸ δὲ ἐγὼ εἶδον, μικρόν ἐστι. σῆμα δὲ τῆς ἱστορίης τόδε πρήσσουσι· δὶς ἑκάστου ἔτεος ἐκ θαλάσσης ὕδωρ ἐς τὸν νηὸν ἀπικνέεται. φέρουσι δὲ οὐκ ἱρέες μοῦνον, ἀλλὰ πᾶσα Συρίη καὶ Ἀραβίη, καὶ πέρηθεν τοῦ Εὐφρήτεω πολλοὶ ἄνθρωποι ἐς θάλασσαν ἔρχονται, καὶ πάντες ὕδωρ φέρουσι, τὸ πρῶτα μὲν ἐν τῷ νηῷ ἐκχέουσι, μετὰ δὲ ἐς τὸ χάσμα κατέρχεται, καὶ δέκεται τὸ χάσμα μικρὸν ἐὸν, ὕδατος χρῆμα πολλόν. τα δὲ ποιέοντες, Δευκαλίωνα ἐν τῷ ἱρῷ τόνδε νόμον θέσθαι λέγουσι, συμφορῆς τε καὶ εὐεργεσίης μνῆμα ἔμμεναι. ὁ μὲν ἂν ἀρχαῖος αὐτοῖσι λόγος ἀμφὶ τοῦ ἱροῦ τοιόσδέ ἐστί.

14. ἄλλοι δὲ Σεμίραμιν τὴν Βαβυλωνίην, τῆς δὴ πολλὰ ἔργα ἐν τῇ Ἀσίῃ ἐστί, ταύτην καὶ τόδε τὸ ἕδος εἵσασθαι νομίζουσι, οὐκ Ἥρῃ δὲ εἵσασθαι, ἀλλὰ μητρὶ ἑωυτῆς, τῆς Δερκετὼ οὔνομα. Δερκετοῦς δὲ εἶδος ἐν Φοινίκῃ ἐθεησάμην, θέημα ξένον· ἡμισέη μὲν γυνή, τὸ δὲ ὁκόσον ἐκ μηρῶν ἐς ἄκρους πόδας, ἰχθύος οὐρὴ ἀποτείνεται. ἡ δὲ ἐν τῇ ἱρῇ πόλι πᾶσα γυνή ἐστι. πίστιες δὲ τοῦ λόγου αὐτοῖσι οὐ κάρτα ἐμφανέες. ἰχθύας χρῆμα ἱρὸν νομίζουσι, καὶ οὔκοτε ἰχθύων ψαύουσι, καὶ ὄρνιθας τοὺς μὲν ἄλλους σιτέονται, περιστερὴν δὲ μούνην οὐ σιτέονται, ἀλλὰ σφίσιν ἥδε ἱρή. τὰ δὲ γιγνόμενα δοκέει αὐτοῖς ποιέεσθαι Δερκετοῦς καὶ Σεμιράμιος εἵνεκα, τὸ μὲν, ὅτι Δερκετὼ μορφὴν ἰχθύος ἔχει, τὸ δὲ, ὅτι

τὸ Σεμιράμιος τέλος ἐς περιστερὴν ἀπίκετο· ἀλλ' ἐγὼ τὸν μὲν νηὸν, ὅτι Σεμιράμιος ἔργον ἐστὶ, τάχα κου δέξομαι. Δερκετοῦς δὲ τὸ ἱρὸν ἔμμεναι, οὐδαμᾷ πείθομαι, ἐπεὶ καὶ παρ' Αἰγυπτίων ἐνιοίσιν, ἰχθύας οὐ σιτέονται, καὶ τάδε οὐ Δερκετοῖ χαρίζονται.

317.

Lucianus

de Syria dea 28 (Iacobitz):

28. ὁ μὲν χῶρος αὐτὸς, ἐν τῷ τὸ ἱρὸν ἵδρυται, λόφος ἐστὶ, κέεται δὲ κατὰ μέσον τῆς πόλιος, μάλιστα καί οἱ τείχεα δοιὰ περικέαται. τῶν δὲ τειχέων τὸ μὲν ἀρχαῖον, τὸ δὲ οὐ πολλὸν ἡμέων πρεσβύτερον. τὰ δὲ προπύλαια τοῦ ἱροῦ ἐς ἄνεμον βορέην ἀποκέκλιται μέγαθος ὅσον τε ἑκατὸν ὀργυιέων. ἐν τούτοισι τοῖσι προπυλαίοισι καὶ οἱ φαλλοὶ ἑστᾶσι, τοὺς Διόνυσος ἐστήσατο, ἡλικίην καὶ οἵδε τριήκοντα ὀργυιέων. ἐς τουτέων τὸν ἕνα φαλλὸν ἀνὴρ ἑκάστου ἔτεος δὶς ἀνέρχεται, οἰκέει τε ἐν ἄκρῳ τῷ φαλλῷ χρόνον ἑπτὰ ἡμερέων.

318.

Lucianus

de Syria dea 30–32 (Iacobitz):

30. εἶδος δὲ, καὶ ἐργασίην ἐστιν, ὁκοίους νηοὺς ἐν Ἰωνίῃ ποιέουσιν. ἕδρη μεγάλη ἀνέχει ἐκ γῆς μέγαθος ὀργυιέων δυοῖν, ἐπὶ τῆς ὁ νηὸς ἐπικέεται. ἄνοδος ἐς αὐτὸν λίθου πεποίηται, οὐ κάρτα μακρή. ἀνελθόντι δὲ θωῦμα μὲν καὶ ὁ πρόνηος μέγα παρέχεται, θύρῃσί τε ἤσκηται χρυσέῃσιν· ἔνδοθεν δὲ ὁ νηὸς χρυ-

σοῦ τε πολλοῦ ἀπολάμπεται καὶ ἡ ὀροφὴ πᾶσα χρυσέη. ἀπόζει δὲ αὐτοῦ ὀδμὴ ἀμβροσίη, ὁκοίη λέγεται τῆς χώρης τῆς Ἀραβίης, καί σοι τηλόθεν ἀνιόντι, προσβάλλει πνοιὴν κάρτα ἀγαθήν, καὶ ἢν αὖτις ἀπίῃς, οὐδαμᾷ λείπεται, ἀλλὰ σευ τά τε εἵματα ἐς πολλὸν ἔχει τὴν πνοιὴν, καὶ σὺ ἐς πάμπαν αὐτῆς μεμνήσεαι. 31. ἔνδοθεν δὲ ὁ νηὸς οὐκ ἁπλόος ἐστίν, ἀλλὰ ἐν αὐτῷ θάλαμος ἄλλος πεποίηται. ἄνοδος κα ἐς τοῦτον ὀλίγη· θύρῃσι δὲ οὐκ ἤσκηται, ἀλλ' ἐς ἀντίον ἅπας ἀναπέπταται. ἐς μὲν ὦν τὸν μέγαν νηὸν πάντες ἐσέρχονται, ἐς δὲ τὸν θάλχμον οἱ ἱρέες μοῦνον, οὐ μέντοι πάντες οἱ ἱρέες, ἀλλά οἳ μάλιστα ἀγχίθεοί τέ εἰσι καὶ οἷσι πᾶσα ἐς τὸ ἱρὸν μέλεται θεραπηίη. ἐν δὲ τῷδε εἵαται τὰ ἕδεα, ἥ τε Ἥρη, καὶ τὸν αὐτοὶ Δία ἐόντα ἑτέρῳ οὐνόματι κληΐζουσιν. ἄμφω δὲ χρύσεοί τέ εἰσι, καὶ ἄμφω ἕζονται· ἀλλὰ τὴν μὲν Ἥρην λέοντες φέρουσι, ὁ δὲ ταύροισιν ἐφέζεται. καὶ δῆτα τὸ μὲν τοῦ Διὸς ἄγαλμα ἐς Δία πάντα ὁρῇ καὶ κεφαλὴν, καὶ εἵματα καὶ ἕδρην, καί μιν οὐδὲ ἐθέλων ἄλλως εἰκάσεις. 32. ἡ δὲ Ἥρη σκοπέοντί σοι πολυειδέα μορφὴν ἐκφανέει. καὶ τὰ μὲν ξύμπαντα ἀτρεκέι λόγῳ Ἥρη ἐστίν· ἔχει δέ τι καὶ Ἀθηναίης καὶ Ἀφροδίτης καὶ Σεληναίης καὶ Ῥέης καὶ Ἀρτέμιδος, καὶ Νεμέσιος καὶ Μοιρέων. χειρὶ δὲ τῇ μὲν ἑτέρῃ σκῆπτρον ἔχει, τῇ ἑτέρῃ δὲ ἄτρακτον, καὶ ἐπὶ τῇ κεφαλῇ ἀκτῖνάς τε φορέει, καὶ πῦργον καὶ κεστὸν, τῷ μούνην τὴν Οὐρανίην κοσμέουσιν ἔκτοσθεν δέ οἱ χρυσός τε ἄλλος περικέεται, καὶ λίθοι κάρτα πολυτελέες, τῶν οἱ μὲν λευκοὶ, οἱ δὲ ὑδατώδεες, πολλοὶ δε οἰνώδεες, πολλοὶ δὲ πυρώδεες. ἔτι δὲ ὄνυχες οἱ Σαρδῷοι

πολλοὶ καὶ ὑάκινθοι καὶ σμάραγδοι, τὰ φέρουσιν Αἰγύπτιοι καὶ Ἰνδοὶ καὶ Αἰθίοπες καὶ Μῆδοι καὶ Ἀρμένιοι καὶ Βαβυλώνιοι. τὸ δὲ δὴ μέζονος λόγου ἄξιον, τοῦτο ἀπηγήσομαι· λίθον ἐπὶ τῇ κεφαλῇ φορέει, λυχνὶς καλέεται, οὔνομα δέ οἱ τοῦ ἔργου ἡ συντυχίη. ἀπὸ τούτου ἐν νυκτὶ σέλας πολλὸν ἀπολάμπεται, ὑπὸ δέ οἱ καὶ ὁ νηὸς ἅπας οἷον ὑπὸ λύχνοισι φαείνεται. ἐν ἡμέρῃ δὲ τὸ μὲν φέγγος ἀσθενέει. ἰδέην δὲ ἔχει κάρτα πυρώδεα. καὶ ἄλλο θωυμαστόν ἐστιν ἐν τῷ ξοάνῳ. ἢν ἑστεὼς ἀντίος ἐσορέῃς, ἐς σὲ ὁρῇ καὶ μεταβαίνοντι τὸ βλέμμα ἀκολουθέει, καὶ ἢν ἄλλος ἑτέρωθεν ἱστορέῃ, ἴσα καὶ ἐς ἐκεῖνον ἐκτελέει. 33. ἐν μέσῳ δὲ ἀμφοτέρων, ἕστηκε ξόανον ἄλλο χρύσεον, οὐδαμὰ τοῖσιν ἄλλοισι ξοάνοισιν ἴκελον. τὸ δὲ μορφὴν μὲν ἰδίην οὐκ ἔχει, φορέει δὲ τῶν ἄλλων θεῶν εἴδεα. καλέεται δὲ σημήιον καὶ ὑπ' αὐτῶν Ἀσσυρίων, οὐδέ τι οὔνομα ἴδιον αὐτῷ ἔθεντο, ἀλλ' οὐδὲ γενέσιος αὐτοῦ καὶ εἴδεος λέγουσι.

319.

Lucianus

de Syria dea 41-60 (Iacobitz):

41. ἐν δὲ τῇ αὐλῇ ἄφετοι νέμονται βόες μεγάλοι καὶ ἵπποι καὶ αἰετοὶ καὶ ἄρκτοι καὶ λέοντες, καὶ ἀνθρώπους οὐδαμὰ σίνονται, ἀλλὰ πάντες ἱροί τέ εἰσι, καὶ χειροήθεες. 42. ἱρέες δὲ αὐτοῖσι πολλοὶ ἀποδεδέχαται, τῶν οἱ μὲν τὰ ἱρήια σφάζουσιν, οἱ δὲ σπονδηφορέουσιν, ἄλλοι δὲ πυρφόροι καλέονται καὶ ἄλλοι παραβώμιοι. ἐπ' ἐμεῦ δὲ πλείονες καὶ τριηκοσίων ἐς τὴν θυσίην ἀπικνέοντο. ἐσθὴς

δὲ αὐτέοισι πᾶσα λευκή, καὶ πῖλον ἐπὶ τῇ κεφαλῇ ἔχουσιν. ἀρχιρεὺς δὲ ἄλλος ἑκάστου ἔτεος ἐπιγίγνεται, πορφυρέην τὲ μοῦνος οὗτος φορέει καὶ τιάρῃ χρυσέῃ ἀναδέεται. 43. ἔστι δὲ καὶ ἄλλο πλῆθος ἀνθρώπων ἱρῶν αὐλητέων τε καὶ συριστέων καὶ Γάλλων, καὶ γυναῖκες ἐπιμανέες τε καὶ φρενοβλαβέες. 44. θυσίη δὲ δὶς ἑκάστης ἡμέρης ἐπιτελέεται, ἐς τὴν πάντες ἀπικνέονται. Διὶ μὲν ὦν κατ' ἡσυχίην θύουσιν οὔτε ἀείδοντες οὔτε αὐλέοντες. εὖτ' ἂν δὲ τῇ Ἥρῃ κατάρχωνται, ἀείδουσι τε καὶ αὐλέουσι καὶ κρόταλα ἐπικροτέουσι. καί μοι τούτου πέρι σαφὲς οὐδὲν εἰπεῖν ἐδύναντο. 45. ἔστι δὲ καὶ λίμνη αὐτόθι οὐ πολλὸν ἑκὰς τοῦ ἱροῦ, ἐν τῇ ἰχθύες ἱροὶ τρέφονται πολλοὶ καὶ πολυειδέες. γίγνονται δὲ αὐτέων ἔνιοι κάρτα μεγάλοι· οὗτοι δὲ καὶ οὐνόματα ἔχουσι καὶ ἔρχονται καλεόμενοι. ἐπ' ἐμεῦ δέ τις ἔην ἐν αὐτέοισι χρυσοφορέων, ἐν τῇ πτέρυγι δὲ ποίημα χρύσεον αὐτέῳ ἀνεκέετο. καί μιν ἐγὼ πολλάκις ἐθεησάμην, καὶ εἶχε τὸ ποίημα. 46. βάθος δὲ τῆς λίμνης πολλόν. ἐγὼ μὲν οὐκ ἐπειρήθην· λέγουσι δ' ὦν καὶ διηκοσίων ὀργυιέων πλέον ἔμμεναι. κατὰ μέσον δὲ αὐτῆς βωμὸς λίθου ἀνέστηκε. δοκέοις ἂν ἄφνω ἰδὼν πλώειν τέ μιν καὶ τῷ ὕδατι ἐποχέεσθαι, καὶ πολλοὶ ὧδε νομίζουσιν. ἐμοὶ δὲ δοκέει στύλος ὑφεστεὼς μέγας ἀνέχειν τὸν βωμόν. ἔστεπται δὲ αἰεὶ καὶ θυώματα ἔχει. πολλοὶ δὲ καὶ ἑκάστης ἡμέρης κατ' εὐχὴν ἐς αὐτὸν νηχόμενοι στεφανηφορέουσι. 47. γίγνονται δὲ αὐτόθι καὶ πανηγύριές τε μέγισται, καλέονται δὲ ἐς τὴν λίμνην καταβάσιες, ὅτι ἐν αὐτῇσιν ἐς τὴν λίμνην τὰ ἱρὰ πάντα κατέρχεται, ἐν τοῖσιν ἡ Ἥρη πρώτη ἀπικνέε-

ται τῶν ἰχθύων εἵνεκα, μὴ σφέας ὁ Ζεὺς πρῶτος ἴδηται. ἢν γὰρ τόδε γένηται, λέγουσιν ὅτι πάντες ἀπόλλυνται. καὶ δῆτα ὁ μὲν ἔρχεται ὀψόμενος, ἡ δὲ πρόσω ἱσταμένη ἀπέργει τέ μιν, καὶ πολλὰ λιπαρέουσα ἀποπέμπει. 48. μέγισται δὲ αὐτέοισι πανηγύριες, ταὶ ἐς θάλασσαν νομίζονται. ἀλλ' ἐγὼ τουτέων πέρι σαφὲς οὐδὲν ἔχω εἰπεῖν· οὐ γὰρ ἦλθον αὐτὸς οὐδὲ ἐπειρήθην ταύτης τῆς ὁδοιπορίης. τὰ δὲ ἐλθόντες ποιέουσιν, εἶδον καὶ ἀπηγήσομαι. ἀγγήιον ἕκαστος ὕδατι σεσαγμένον φέρουσι, κηρῷ δὲ τάδε σεσήμανται· καί μιν οὐκ αὐτοὶ λυσάμενοι χέονται, ἀλλ' ἔστιν ἀλεκτρυὼν ἱρός, οἰκέει δ' ἐπὶ τῇ λίμνῃ, ὃς ἐπεὰν σφέων δέξηται τὰ ἀγγήια τήν τε σφρηγῖδα ὁρῇ, μισθὸν ἀρνύμενος ἀνά τε λύει τὸν δεσμὸν καὶ τὸν κηρὸν ἀπαιρέεται, καὶ πολλαὶ μνέες ἐκ τουτέου τοῦ ἔργου τῷ ἀλεκτρυόνι ἀγείρονται. ἔνθεν δὲ ἐς τὸν νηὸν αὐτοὶ ἐνείκαντες σπένδουσί τε καὶ θύσαντες ὀπίσω ἀπονοστέουσιν. 49. ὁρτέων δὲ πασέων τῶν οἶδα μεγίστην τοῦ εἴαρος ἀρχομένου ἐπιτελέουσι, καί μιν οἱ μὲν πυρὴν, οἱ δὲ λαμπάδα καλέουσι. θυσίην δὲ ἐν αὐτῇ τοιήνδε ποιέουσι. δένδρεα μεγάλα ἐκκόψαντες ἐν τῇ αὐλῇ ἑστᾶσι, μετὰ δὲ ἀγινέοντες αἶγάς τε, καὶ ὄιας, καὶ ἄλλα κτήνεα ζωὰ ἐκ τῶν δενδρέων ἀπαρτέουσιν· ἐν δὲ καὶ ὄρνιθες καὶ εἵματα καὶ χρύσεα καὶ ἀργύρεα ποιήματα. ἐπεὰν δὲ ἐντελέα πάντα ποιήσωνται, περιενείκαντες τὰ ἱρὰ περὶ τὰ δένδρεα πυρὴν ἐνιᾶσι, τὰ δὲ αὐτίκα πάντα καίονται. ἐς ταύτην τὴν ὁρτὴν πολλοὶ ἄνθρωποι ἀπικνέονται ἔκ τε Συρίης καὶ τῶν πέριξ χωρέων πασέων, φέρουσί τε τὰ ἑωυτῶν ἱρὰ ἕκαστοι καὶ τὰ σημήια ἕκαστοι ἔχουσι ἐς τάδε

μεμιμημένα. 50. Ἐν ῥητῆσι δὲ ἡμέρησι τὸ μὲν πλῆθος ἐς τὸ ἱρὸν ἀγείρονται, Γάλλοι δὲ πολλοί, καὶ τοὺς ἔλεξα ἱροὶ ἄνθρωποι τελέουσι τὰ ὄργια, τάμνονταί τε τοὺς πήχεας, καὶ τοῖσι νώτοισι πρὸς ἀλλήλους τύπτονται· πολλοὶ δέ σφίσι παρεστεῶτες, ἐπαυλέουσι, πολλοὶ δὲ τύμπανα παταγέουσιν, ἄλλοι δὲ ἀείδουσιν ἔνθεα καὶ ἱρὰ ᾄσματα. τὸ δὲ ἔργον ἐκτὸς τοῦ νηοῦ τόδε γίγνεται, οὐδὲ ἐσέρχονται ἐς τὸν νηὸν ὁκόσοι τοδε ποιέουσιν. 51. ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι καὶ Γάλλοι γίγνονται. ἐπεὰν γὰρ οἱ ἄλλοι αὐλέωσί τε καὶ ὄργια ποιέωνται, ἐς πολλοὺς ἤδη ἡ μανίη ἀπικνέεται, καὶ πολλοὶ οἱ ἐς θέην ἀπικόμενοι μετὰ δὲ τοιάδε ἔπρηξαν. καταλέξω δὲ καὶ τὰ ποιέουσιν. ὁ νεηνίης, ὅτῳ τάδε ἀποκέαται, ῥίψας τὰ εἵματα μεγάλῃ βοῇ ἐς μέσον ἔρχεται καὶ ξίφος ἀναιρέεται. τὰ δὲ πολλὰ ἔτεα ἐμοὶ δοκέει, διὰ τοῦτο ἕστηκε· λαβὼν δὲ αὐτίκα τάμνει ἑωυτὸν θέει τε διὰ τῆς πόλιος καὶ τῇσι χερσὶ φέρει τὰ ἔταμεν. ἐς ὁκοίην δὲ οἰκίην τάδε ἀπορρίψει, ἐκ ταύτης ἐσθῆτά τε θηλέην καὶ κόσμον τὸν γυναικήιον λαμβάνει. τάδε μὲν ἐν τῇσι τομῇσι ποιέουσιν. 52. ἀποθανόντες δὲ Γάλλοι οὐκ ὁμοίην ταφὴν τοῖσιν ἄλλοισι θάπτονται, ἀλλ' ἐὰν ἀποθάνῃ Γάλλος, οἱ ἑταῖροί μιν αείραντες, ἐς τὰ προάστεια φέρουσι, θέμενοι δέ αὐτὸν καὶ τὸ φέρτρον, τῷ ἐκόμισαν, ὕπερθε λίθους βάλλουσι, καὶ τάδε πρήξαντες ὀπίσω απονοστέουσι· φυλάξαντες δὲ ἑπτὰ ἡμερέων ἀριθμὸν οὕτως ἐς τὸ ἱρὸν ἐσέρχονται. πρὸ δὲ τουτέων, ἢν ἐσέλθωσιν, οὐκ ὅσια ποιέουσι. 53. νόμοισι δὲ ἐς ταῦτα χρέωνται τουτέοισι· ἢν μέν τις αὐτέων νέκυν ἴδηται, ἐκείνην τὴν ἡμέρην ἐς τὸ ἱρὸν οὐκ ἀπικνέεται, τῇ ἑτέρῃ

δὲ, καθήρας ἑωυτὸν, ἐσέρχεται. αὐτέων δὲ τῶν οἰκηίων τοῦ νέκυος ἕκαστοι φυλάξαντες ἀριθμὸν ἡμερέων τριήκοντα, καὶ τὰς κεφαλὰς ξυράμενοι, ἐσέρχονται. πρὶν δὲ τάδε ποιῆσαι, οὐ σφίσιν ἐσιέναι ὅσιον. 54. θύουσι δὲ βόας ἄρσενάς τε καὶ θήλεας καὶ αἶγας καὶ ὄϊας. σύας δὲ μοῦνας ἐναγέας νομίζοντες οὔτε θύουσιν οὔτε σιτέονται. ἄλλοι δ' οὐ σφέας ἐναγέας, ἀλλὰ ἱροὺς νομίζουσι ὀρνίθων τε αὐτέοισι περιστερὴ χρῆμα ἱροτατον καὶ οὐδὲ ψαύειν αὐτέων δικαιεῦσι· καὶ ἢν ἀέκοντες ἅψωνται, ἐναγέες ἐκείνην τὴν ἡμέρην εἰσί. τούνεκα δὴ αὐτέοισι σύννομοί τε εἰσι καὶ ἐς τὰ οἰκήια ἐσέρχονται καὶ τὰ πολλὰ ἐν γῇ νέμονται. 55. Λέξω δὲ καὶ τῶν πανηγυριστέων τὰ ἕκαστοι ποιέουσιν. ἀνὴρ εὖτ' ἂν ἐς τὴν ἱρὴν πόλιν πρῶτον ἀπικνέηται, κεφαλὴν μὲν ὅδε καὶ ὀφρύας ἐξύρατο, μετὰ δὲ ἱρεύσας ὄϊν, τὰ μὲν ἄλλα κρεουργέει τε καὶ εὐωχέεται, τὸ δὲ νάκος χαμαὶ θέμενος, ἐπὶ τούτου ἐς γόνυ ἕζεται πόδας δὲ καὶ κεφαλὴν τοῦ κτήνεος ἐπὶ τὴν ἑωυτοῦ κεφαλὴν ἀναλαμβάνει, ἅμα δὲ εὐχόμενος αἰτέει τὴν μὲν παρεοῦσαν θυσίην δέκεσθαι, μέζω δὲ ἐσαῦτις ὑπισχέεται. τελέσας δὲ ταῦτα καὶ τὴν κεφαλὴν αὐτοῦ τε στέφεται, καὶ τῶν ἄλλων, ὁκόσοι τὴν αὐτὴν ὁδὸν ἀπικνέονται. ἄρας δὲ ἀπὸ τῆς ἑωυτοῦ ὁδοιποέει, ὕδασί τε ψυχροῖσι χρεώμενος, λουτρῶν τε καὶ πόσιος εἵνεκα καὶ ἐς πάμπαν χαμακοιτέων. οὐ γάρ οἱ εὐνῆς ἐπιβῆναι ὅσιον, πρὶν τήν τε ὁδὸν ἐκτετέσαι, καὶ ἐς τὴν ἑωυτοῦ αὖτις ἀπικέσθαι. 56. ἐν δὲ τῇ ἱρῇ πόλι ἐκδέκεταί μιν ἀνὴρ ξεινοδόκος ἀγνοέοντα. ῥητοὶ γὰρ δὴ ὦν ἑκάστης πόλιος αὐτέθι ξεινοδόκοι εἰσί, καὶ τόδε πατρόθεν οἶκοι δέκονται. κα-

λέονται δὲ ὑπὸ Ἀσσυρίων οἵδε διδάσκαλοι, ὅτι σφίσι πάντα ὑπηγέονται. 57. θύουσι δὲ οὐκ ἐν αὐτῷ τῷ ἱρῷ, ἀλλ' ἐπεὰν παραστήσῃ τῷ βωμῷ τὸ ἱρήιον, ἐπισπείσας αὖτις ἄγει ζωὸν ἐς τὰ οἰκήια, ἐλθὼν δὲ κατ' ἑωυτὸν θύει τε καὶ εὔχεται. 58. ἔστι δὲ καὶ ἄλλης θυσίης τρόπος τοιόσδε· στέψαντες τὰ ἱρήια, ζωὰ ἐκ τῶν προπυλαίων ἀπιᾶσι, τὰ δὲ κατενειχθέντα θνήσκουσι· ἔνιοι δὲ καὶ παῖδας ἑωυτῶν ἐντεῦθεν ἀπιᾶσιν οὐκ ὁμοίως τοῖς κτήνεσιν ἀλλ' ἐς πήρην ἐνθέμενοι χειρὶ κατάγουσιν, ἅμα δὲ αὐτέοισιν ἐπικερομέοντες λέγουσι ὅτι οὐ παῖδες ἀλλὰ βόες εἰσί. 59. στίζονται δὲ πάντες οἱ μὲν ἐς καρποὺς, οἱ δὲ ἐς αὐχένας, καὶ ἀπὸ τοῦδε ἅπαντες Ἀσσύριοι στιγματηφορέουσι. 60. ποιέουσι δὲ καὶ ἄλλο μούνοισιν Ἑλλήνων Τροιζηνίοισιν ὁμολογέοντες. λέξω δὲ καὶ τὰ κεῖνοι ποιέουσι. Τροιζήνιοι τῇσι παρθένοισι καὶ τοῖσιν ἠιθέοισι νόμον ἐποιήσαντο μή σφισιν ἄλλως γάμον εἶναι, πρὶν Ἱππολύτῳ κόμας κείρασθαι· καὶ ὧδε ποιέουσι. τοῦτο καὶ ἐν τῇ ἱρῇ πόλι γίγνεται. οἱ μὲν νεηνίαι τῶν γενείων ἀπάρχονται, τῇσι δὲ παρθένοισι πλοκάμους ἱροὺς ἐκ γενετῆς ἀπιᾶσι, τοὺς ἐπεὰν ἐν τῷ ἱρῷ γένωνται, τάμνουσί τε καὶ ἐς ἄγγεα καταθέντες οἱ μὲν ἀργύρεα, πολλοὶ δὲ χρύσεα ἐν τῷ νηῷ, προσηλώσαντες ἀπίασιν ἐπιγράψαντες ἕκαστοι τὰ οὐνόματα. τοῦτο καὶ ἐγὼ νέος ἔτι ὢν ἐπετέλεσα, καὶ ἔτι μευ ἐν τῷ ἱρῷ καὶ ὁ πλόκαμος καὶ τὸ οὔνομα.

17. μή σφισιν] μή μιν cod. 20. τῇσι δὲ παρθένοισι] ex coniect. Solan. τοῖσι δὲ νέοισι cod.

320-322.

Macrobius

(Ineunte saec. V p. Chr. vixit)

Sat. 1, 17, 66 (Eyssenhardt): Hierapolitani praeterea, qui sunt gentis Assyriorum, omnes solis effectus atque virtutes ad unius simulacri barbati speciem redigunt.

.... ante pedes imago feminea est, cuius dextera laevaque sunt signa feminarum: ea cingit flexuoso volumine draco.... terrae imago est quam sol desuper inlustrat. Signa duo aeque feminea, quibus ambitur, hylen naturamque significant confamulantes et draconis effigies flexuosum iter sideris monstrat.

VIII

DE MYSTERIIS MITHRAE

I.

DE PERSARUM RELIGIONE

323.

Herodotus

(* Halicarnassi c. 480 — † c. 426 a. Chr.)

Hist. 1, 131 (Dietsch-Kallenberg): Πέρσας δὲ οἶδα νόμοισι τοιοισίδε χρεωμένους ἀγάλματα μὲν καὶ νηοὺς καὶ βωμοὺς οὐκ ἐν νόμῳ ποιευμένους ἱδρύεσθαι, ἀλλὰ καὶ τοῖσι ποιεῦσι μωρίην ἐπιφέρουσι, ὡς μὲν ἐμοὶ δοκέειν, ὅτι ἀνθρωποφυέας ἐνόμισαν τοὺς θεοὺς κατάπερ οἱ Ἕλληνες εἶναι. οἱ δε νομίζουσι Διὶ μὲν ἐπὶ τὰ ὑψηλότατα τῶν οὐρέων ἀναβαίνοντες θυσίας ἔρδειν, τὸν κύκλον πάντα τοῦ οὐρανοῦ Δία καλεῦντες· θύουσιν δὲ ἡλίῳ τε καὶ σελήνῃ καὶ γῇ καὶ πυρὶ καὶ ὕδατι καὶ ἀνέμοισι. τούτοισι μὲν δὴ μούνοισι θύουσι ἀρχῆθεν· ἐπιμεμαθήκασι δὲ καὶ τῇ Οὐρανίῃ θύειν, παρά τε Ἀσσυρίων μαθόντες καὶ Ἀραβίων. Καλεῦσι δὲ Ἀσσύριοι τὴν Ἀφροδίτην Μύλιττα, Ἀράβιοι δὲ Ἄλιττα, Πέρσαι δε Μίτραν.

324.

Strabo

(Amaseae Ponti c. 60 a. Chr. — † c. 25 p. Chr.)

Geogr. 11, 14, 9 (Meineke): οὕτω δ' ἐστὶν ἱππόβοτος σφόδρα ἡ χώρα (ἡ Αρμενία) καὶ οὐχ ἧττον τῆν Μηδίας, ὥστε οἱ Νισαῖοι ἵπποι καὶ ἐνταῦθα

Μίτραν] ex errore pro Ἀναῖταν.

γίνονται οἷσπερ οἱ Περσῶν βασιλεῖς ἐχρῶντο καὶ ὁ σατράπης τῆς Ἀρμενίας τῷ πέρση κατ' ἔτος δισμυρίους πώλους τοῖς Μιθρακάνοις ἔπεμπεν.

325.
Strabo

Geogr. 15, 3, 13 (Meineke): Πέρσαι τοίνυν ἀγάλματα μὲν καὶ βωμοὺς οὐχ ἱδρύονται, θύουσι δ' ἐν ὑψηλῷ τόπῳ τὸν οὐρανὸν ἡγούμενοι Δία, τιμῶσι δὲ καὶ Ἥλιον, ὃν καλοῦσι Μίθραν, καὶ Σελήνην καὶ Ἀφροδίτην καὶ πῦρ καὶ γῆν καὶ ἀνέμους καὶ ὕδωρ.

326.
Titulus
(Saec. I a. Chr. scriptus)

col. II. l. 46-59 (Cumont): διόπερ ὡς ὁρᾶς Διός τε Ὠρομάσδου καὶ Ἀπόλλωνος Μίθρου Ἡλίου Ἑρμοῦ καὶ Ἀρτά|γνου Ἡρακλέους Ἄρεως, ἐμῆς τε πατρίδος|παντρόφου Κομμαγηνῆς θεοπρε|πῆ ταῦτα ἀγάλματα καθιδρυσάμην. ἀπό τε λιθείας μιᾶς δαίμοσιν ἐπηκόοις|σύνθρονον χαρακτῆρα μορφῆς ἐμῆς| συνανέθηκα, καὶ τύχης νέας ἡλικιῶτιν ἀρχαίαν θεῶν μεγάλων τιμὴν ἐποι|ησάμην, μίμημα δίκαιον φυλάσ|σων ἀθανάτου φροντίδος...

327.
Plutarchus
(* Chaeroneae in Boeotia c. 50 — † c. 125 p. Chr.)

de Iside, 46-47 (Bernardakis):

46. καὶ δοκεῖ τοῦτο τοῖς πλείστοις καὶ σοφωτάτοις. νομίζουσι γὰρ οἱ μὲν θεοὺς εἶναι δύο, καθάπερ

ἀντιτέχνους· τὸν μὲν ἀγαθῶν, τὸν δὲ φαύλων δημιουργόν. οἱ δὲ τὸν μὲν ἀμείνονα, θεόν, τὸν δὲ ἕτερον δαίμονα καλοῦσιν· ὥσπερ Ζωρόαστρις ὁ μάγος, ὃν πεντακισχιλίοις ἔτεσι τῶν Τρωϊκῶν γεγονέναι πρεσβύτερον ἱστοροῦσιν. οὗτος οὖν ἐκάλει τὸν μὲν Ὡρομάζην, τὸν δ' Ἀρειμάνιον· καὶ προσαπεφαίνετο, τὸν μὲν ἐοικέναι φωτὶ μάλιστα τῶν αἰσθητῶν, τὸν δ' ἔμπαλιν σκότῳ καὶ ἀγνοίᾳ, μέσον δ' ἀμφοῖν τὸν Μίθρην εἶναι. διὸ καὶ Μίθρην Πέρσαι τὸν μεσίτην ὀνομάζουσιν· ἐδίδαξε τῷ μὲν εὐκταῖα θύειν καὶ χαριστήρια, τῷ δ' ἀποτρόπαια καὶ σκυθρωπά. πόαν γάρ τινα κόπτοντες Ὄμωμι καλουμένην ἐν ὅλμῳ, τὸν ᾅδην ἀνακαλοῦνται καὶ τὸν σκότον· εἶτα μίξαντες αἵματι λύκου σφαγέντος, εἰς τόπον ἀνήλιον ἐκφέρουσι καὶ ῥίπτουσι. καὶ γὰρ τῶν φυτῶν νομίζουσι τὰ μέν, τοῦ ἀγαθοῦ θεοῦ, τὰ δέ, τοῦ κακοῦ δαίμονος εἶναι· καὶ τῶν ζώων, ὥσπερ κύνας καὶ ὄρνιθας καὶ χερσαίους ἐχίνους, τοῦ ἀγαθοῦ· τοῦ δὲ φαύλου, τοὺς ἐνύδρους εἶναι. διὸ καὶ τὸν κτείναντα πλείστους εὐδαιμονίζουσιν.

47. οὐ μὴν κἀκεῖνοι πολλὰ μυθώδη περὶ τῶν θεῶν λέγουσιν· οἷα καὶ ταῦτά ἐστιν. ὁ μὲν Ὡρομάζης ἐκ τοῦ καθαρωτάτου φάους, ὁ δ' Ἀρειμάνιος ἐκ τοῦ ζόφου γεγονώς, πολεμοῦσιν ἀλλήλοις. καὶ ὁ μὲν ἓξ θεοὺς ἐποίησε, (τὸν μὲν πρῶτον, εὐνοίας, τὸν δὲ δεύτερον, ἀληθείας. τὸν δὲ τρίτον, εὐνομίας· τῶν δὲ λοιπῶν, τὸν μὲν σοφίας, τὸν δὲ πλούτου, τὸν δὲ τῶν ἐπὶ τοῖς καλοῖς ἡδέων δημιουργόν) ὁ δὲ τούτοις ὥσπερ ἀντιτέχνους ἴσους τὸν ἀριθμόν. εἶθ' ὁ μὲν Ὡρομάζης τρὶς ἑαυτὸν αὐξήσας ἀπέστησε τοῦ ἡλίου τοσοῦτον, ὅσον ὁ ἥλιος τῆς γῆς ἀφέστηκε, καὶ τὸν

οὐρανὸν ἄστροις ἐκόσμησεν· ἕνα δ' ἀστέρα πρὸ πάντων, οἷον φύλακα καὶ προόπτην ἐγκατέστησε, τὸν σείριον. ἄλλους δὲ ποιήσας τέσσαρας καὶ εἴκοσι θεούς, εἰς ὠὸν ἔθηκεν. οἱ δὲ ὑπὸ τοῦ Ἀρειμανίου γενόμενοι, καὶ αὐτοὶ τοσοῦτοι, διατρήσαντες τὸ ὠὸν γανωθὲν, ἀναμέμικται τὰ κακὰ τοῖς ἀγαθοῖς. ἔπεισι δὲ χρόνος εἱμαρμένος, ἐν ᾧ τὸν Ἀρειμάνιον, λοιμὸν ἐπάγοντα καὶ λιμὸν, ὑπὸ τούτων ἀνάγκη φθαρῆναι παντάπασι καὶ ἀφανισθῆναι, τῆς δὲ γῆς ἐπιπέδου καὶ ὁμαλῆς γενομένης, ἕνα βίον καὶ μίαν πολιτείαν ἀνθρώπων μακαρίων καὶ ὁμογλώσσων ἁπάντων γενέσθαι. Θεόπομπος δέ φησι κατὰ τοὺς μάγους ἀνὰ μέρος τρισχίλια ἔτη τὸν μὲν κρατεῖν, τὸν δὲ κρατεῖσθαι τῶν θεῶν, ἄλλα δὲ τρισχίλια μάχεσθαι καὶ πολεμεῖν καὶ ἀναλύειν τὰ τοῦ ἑτέρου τὸν ἕτερον· τέλος δ' ἀπολείπεσθαι τὸν ᾅδην, καὶ τοὺς μὲν ἀνθρώπους εὐδαίμονας ἔσεσθαι, μήτε τροφῆς δεομένους, μήτε σκιὰν ποιοῦντας· τον δὲ ταῦτα μηχανησάμενον θεὸν, ἠρεμεῖν καὶ ἀναπαύεσθαι χρόνον, καλῶς μὲν οὐ πολὺν πῷ θεῷ, ὥσπερ ἀνθρώπῳ κοιμομένῳ μέτριον. ἡ μὲν οὖν μάγων μυθολογία τοιοῦτον ἔχει τρόπον.

II. —

DE DOCTRINA MITHRIACA

328.

Tertullianus

(* Carthagine c. 160 — † post 220 p. Chr.)

Adv. Marcion. 1,13 (Kroymann): aridae et ardentis naturae sacramenta leones Mithrae philosophantur.

329.

Arnobius

(* Siccae in Africa, aetate Diocletiani imp. vixit)

adv. nat 6, 10 (Reifferscheid): inter deos videmus vestros leonis torvissimam faciem mero oblitam minio et nomine frugiferi nuncupari.

330.

Basilius

(* Caesareae in Capp. c. 331 — † 379 p. Chr.)

epist. 258 ad Epiphanium (ed. Migne):

τὰς δὲ ἐκ τοῦ Ἀβραὰμ γενεαλογίας οὐδεὶς ἡμῖν μέχρι τοῦ παρόντος τῶν Μάγων ἐμυθολόγησεν ἀλλὰ Ζαρνοῦαν τινα ἑαυτοῖς ἀρχηγὸν τοῦ γένους ἐπιφημίζουσι.

331.

Photius

(* Constantinopoli c. 815 — † c. 898 p. Chr.)

Bibl. 81 (Bekker):

ἐν τῷ πρώτῳ λόγῳ (Θεοδώρου περὶ τῆς ἐν Περσίδι μαγικῆς) προστίθεται τὸ μιαρὸν Περσῶν δόγμα, ὃ Ζαράδης εἰσηγήσατο, ἤτοι περὶ τοῦ Ζουρουὰμ ὃν ἀρχηγὸν πάντων εἰσάγει, ὃν καὶ τύχην καλεῖ· καὶ ὅτι σπένδων, ἵνα τέκῃ τὸν Ὁρμίσδαν, ἔτεκεν ἐκεῖνον καὶ τὸν Σατανᾶν.

3. frugiferi] frugiferio codd.

III.

DE MITHRA DEO

332.

Origenes

(* Alexandriae 185 — † 254 p. Chr.)

contra Celsum 6,22 (Koetschau):

ἑξῆς δὲ τούτοις βουλόμενος ὁ Κέλσος πολυμάθειαν ἑαυτοῦ ἐπιδείξασθαι ἐν τῷ καθ' ἡμῶν λόγῳ ἐκτίθεταί τινα καὶ Περσικὰ μυστήρια ἐν οἷς φησιν· αἰνίττεται ταῦτα καὶ ὁ Περσῶν λογος, καὶ ἡ τοῦ Μίθρου τελετὴ ⟨ἣ⟩ παρ' αὐτοῖς ἐστι· ἔστι γάρ τι ἐν αὐτῇ σύμβολον τῶν δύο τῶν ἐν οὐρανῷ περιόδων, τῆς τε ἀπλανοῦς καὶ τῆς εἰς τοὺς πλανήτας αὖ νενεμημένης, καὶ τῆς δι' αὐτῶν τῆς ψυχῆς διεξόδου· τοιόνδε τὸ σύμβολον· κλίμαξ ἑπτάπυλος, ἐπὶ δ' αὐτῇ πύλη ὀγδόη. ἡ πρώτη τῶν πυλῶν μολίβδου, ἡ δευτέρα κασσιτέρου, ἡ τρίτη χαλκοῦ, ἡ τετάρτη σιδήρου, ἡ πέμπτη κεραστοῦ νομίσματος, ἡ ἕκτη ἀργύρου, χρυσοῦ δὲ ἡ ἑβδόμη. τὴν πρώτην τίθενται Κρόνου, τῷ μολίβδῳ τεκμηριούμενοι τὴν βραδύτητα τοῦ ἀστέρος, τὴν δευτέραν Ἀφροδίτης, παραβάλλοντες αὐτῇ τὸ φαιδρόν τε καὶ μαλακὸν τοῦ κασσιτέρου, τὴν τρίτην τοῦ Διός, τὴν χαλκοβατῆ καὶ στερράν, τὴν τετάρτην Ἑρμοῦ, τλήμονα γὰρ ἔργων ἁπάντων καὶ χρηματιστὴν καὶ πολύκμητον εἶναι τόν τε σίδηρον καὶ τὸν Ἑρμῆν, τὴν πέμπτην Ἄρεος, τὴν ἐκ τοῦ κράματος ἀνώμαλόν τε καὶ ποικίλην, ἕκτην τὴν Σελήνης τὴν ἀργυρὰν, ἑβδόμην Ἡλίου τὴν χρυσῆν, μιμούμενοι τὰς χρόας αὐτῶν.

333.

Firmicus Maternus

(* In Sicilia aetate succ. Constantini imp. vixit)

de errore prof. rel. 5 (Halm): virum verum abactorem bouum colentes sacra eius ad ignis transferunt potestatem, sicut propheta eius nobis tradidit dicens:

Μύστα βοοκλοπίης υἱὲ δέξιε πατρὸς ἀγαυοῦ

hunc Mithram dicunt, sacra vero eius in speluncis abditis tradunt, ut semper obscuro tenebrarum squalore demersi gratiam splendidi ac sereni luminis vitent

20 Alterius profani sacramenti signum est θεὸς ἐκ πέτρας.

334.

Macrobius

(Ineunte saec. V p. Chr. vixit)

sat. 1, 181, 10 (Eyssenhardt): hae aetatum diversitates ad solem referuntur, ut parvulus videatur hiemali solstitio.... aequinoctio vernali figura iuvenis ornatur. postea statuitur aetas eius plenissima effigie barbae solstitio aestivo, exinde per diminutiones veluti senescenti quarta forma deus figuratur.

335.

Macrobius

in somm. Scip. 1, 12 (Eyssenhardt): has solis portas physici vocaverunt quia in utraque, obviante solstitio, ulterius solis inhibetur accessio.... per has portas animae de coelo in terras meare et de terris in caelum remeare creduntur. ideo hominum una altera deorum vocatur. hominum Cancer, quia per

hunc in inferiora descensus est. Capricornus deorum quia per illum animae in propriae immortalitatis sedem et in deorum numerum revertuntur.

336.

Nonnus Mythographus

(Saec. VI-VII p. Chr. in Syria floruit)

Schol. in Greg. Naz. inv. in Iulian. (ed. Migne): ὁ τοίνυν Μίθρας νομίζεται παρὰ Πέρσαις εἶναι ὁ ἥλιος, καὶ θυσιάζουσιν αὐτῷ, καὶ τελοῦνται τινὰς τελετὰς εἰς αὐτόν. οὐ δύναται οὖν τις εἰς αὐτὸν τελεσθῆναι, εἰ μὴ πρότερον διὰ τῶν βαθμῶν τῶν κολάσεων παρέλθοι. βαθμοὶ δέ εἰσι κολάσεων τὸν μὲν ἀριθμὸν ὀγδοήκοντα, ἔχοντες δὲ ὑπόβασιν καὶ ἀνάβασιν, κολάζονται γὰρ πρῶτον τὰς ἐλαφροτέρας, εἶτα τὰς δραστικωτέρας· καὶ εἶθ' οὕτως μετὰ τὸ παρελθεῖν διὰ πασῶν τῶν κολάσεων, τότε τελεῖται ὁ τελούμενος. αἱ δε κολάσεις, εἰσὶ τὸ διὰ πυρὸς παρελθεῖν, τὸ διὰ κρύους, διὰ πείνης καὶ δίψης, διὰ ὁδοιπορίας πολλῆς, καὶ ἁπλῶς διὰ πασῶν τῶν τοιούτων.

337.

Hesychius

(Alexandriae, saec. X. p. Chr. vixit)

Lex. (M. Schmidt) s. v. Μίθρας. ὁ ἥλιος παρὰ Πέρσαις. Μίθρης. ὁ πρῶτος ἐν Πέρσαις θεός.

338.

Suidas

(Saec. X. labente p. Chr. vixit)

Lex. (Gaisford) s. v. Μίθραν νομίζουσιν εἶναι οἱ Πέρσαι τὸν ἥλιον, καὶ τούτῳ θύουσι πολλὰς θυσίας.

οὐκ ἄν οὖν εἰς αὐτόν δυνήσαιτό τις τελεσθῆναι, εἰ μὴ διά τινων βαθμῶν παρελθὼν τῶν κολάσεων δείξει ἑαυτὸν ὅσιον καὶ ἀπαθῆ.

IV.

DE LITURGIA MITHRIACA

339.

Iustinus Martyr

(* Flaviae Neap. in Palaest. in. saec. II — † ante 167 p. Chr.)

Apol. 1, 66 (Krüger):

ὅπερ καὶ ἐν τοῖς τοῦ Μίθρα μυστηρίοις παρέδωκαν γίνεσθαι μιμησάμενοι οἱ πονηροὶ δαίμονες. ὅτι γὰρ ἄρτος καὶ ποτήριον ὕδατος τίθεται ἐν ταῖς τοῦ μυομένου τελεταῖς μετ' ἐπιλόγων τινῶν, ἢ ἐπίστασθε ἢ μαθεῖν δύνασθε.

340.

Tertullianus

(* Carthagine c. 160 — † post 220 p. Chr.)

de cor. 15 (ed. Migne): erubescite commilitones eius (sc. Christi) iam non ab ipso iudicandi sed ab aliquo Mithrae milite, qui, cum initiantur in spelaeo, in castris vere tenebrarum, coronam interposito gladio sibi oblatam, quasi minimum martyrii, dehinc capiti suo accomodatam, monetur obvia manu a capite pellere et in humerum si forte transferri dicens Mithram esse coronam suam. atque exinde numquam coronatur, idque signum habet ad probationem sui, sicubi temptatus fuerit de sacramento, statimque creditur Mithrae miles si deiecerit coronam, si eam in deo suo esse dixerit.

341.

Tertullianus

de pr. haeret. 40 (Preuschen): Mithra signat in illic frontibus milites suos, celebrat et panis oblationem et imaginem resurrectionis inducit et sub gladio redimit coronam.

342.

Porphyrius

(* Tyri 233 — † 304 p. Chr.)

de abstin. 4, 16 (Nauck):

παρά γε μὴν τοῖς Πέρσαις οἱ περὶ τὸ θεῖον σοφοὶ καὶ τούτου θεράποντες μάγοι μὲν προσαγορεύονται. τοῦτο γὰρ δηλοῖ κατὰ τὴν ἐπιχώριον διάλεκτον ὁ μάγος οὕτω δὲ μέγα καὶ σεβάσμιον γένος τοῦτο παρὰ Πέρσαις νενόμισται ὥστε καὶ Δαρεῖον τοῦ Ὑστάσπου ἐπιγράψαι τῷ μνήματι πρὸς τοῖς ἄλλοις ὅτι καὶ μαγικῶν γένοιτο διδάσκαλος. διῄρηντο δέ οὗτοι εἰς γένη τρία ὡς φησὶν Εὔβουλος ὁ τὴν περὶ τοῦ Μίθρα ἱστορίαν ἐν πολλοῖς βιβλίοις ἀναγράψας, ὧν οἱ πρῶτοι καὶ λογιώτατοι οὔτ' ἐσθίουσιν ἔμψυχον οὔτε φονεύουσιν, ἐμμένουσιν δὲ τῇ παλαιᾷ τῶν ζῴων ἀποχῇ. οἱ δε δεύτεροι χρῶνται μεν, οὐ μέντοι τῶν ἡμέρον ζῴων τι κτείνουσιν. οὐδ᾽ οἱ τρέτοι ὁμοίως τοῖς ἄλλοις ἐφάπτονται πάντων. καὶ γὰρ δόγμα πάντων ἐστὶ τῶν πρώτων τὴν μετεμψύχωσιν εἶναι ὃ καὶ ἐμφαίνειν ἐοίκασιν ἐν τοῖς τοῦ Μίθρα μυστηρίοις. τὴν γὰρ κοινότητα ἡμῶν τὴν πρὸς τὰ ζῷα αἰνιττόμενοι διὰ τῶν ζῴων ἡμᾶς μηνύειν εἰώθασιν· ὡς τοὺς μεν μετέχοντας τῶν αὐτῶν ὀργίων μύστας

λέοντας καλεῖν, τὰς δε γυναῖκας ὑαίνας, τοὺς δὲ ὑπηρετοῦντας κόρακας. ἐπί τε τῶν πατέρων.... ἀετοὶ γὰρ καὶ ἱέρακες οὗτοι προσαγορεύονται. ὅτε τὰ λεοντικὰ παραλαμβάνων περιτίθεται παντοδαπὰς ζώων μορφάς. ὧν τὴν αἰτίαν ἀποδιδοὺς πάλλας ἐν τοῖς περὶ τοῦ Μίθρα τὴν κοινὴν φησὶ φορὰν οἴεσθαι, ὡς πρὸς τήν τοῦ ζ··διακοῦ κύκλου ἀποτείνειν· τὴν δὲ ἀληθινὴν ὑπόληψιν καὶ ἀκριβῆ περὶ τῶν ἀνθρωπίνων ψυχῶν αἰνίττεσθαι, ἅς παντοδαποῖς περιέχεσθαι σώμασι λέγουσι.

.343.

Porphyrius

de antro nymph. 5-6 (Nauck):

ἄντρα μεν δὴ ἐπιεικῶς οἱ παλαιοὶ καὶ σπήλαια τῷ κόσμῳ καθιέρουν.... οὕτω καὶ Πέρσαι τὴν εἰς κάτω κάθοδον τῶν ψυχῶν καὶ πάλιν ἔξοδον μυσταγωγοῦντες τελοῦσι τὸν μύστην, ἐπονομάσαντες σπήλαιον ⟨τὸν⟩ τόπον· πρῶτα μέν, ὡς φησὶν Εὔβουλος, Ζωροάστρου αὐτοφυὲς σπήλαιον ἐν τοῖς πλησίον ὄρεσι τῆς Περσίδος ἀνθηρὸν καὶ πηγὰς ἔχον ἀνιερώσαντος εἰς τιμὴν τοῦ πάντων ποιητοῦ καὶ πατρὸς Μίθρου, εἰκόνα φέροντος [αὐτῷ] τοῦ σπηλαίου τοῦ κόσμου, ὃν ὁ Μίθρας ἐδημιούογησε, τῶν δέ ἐντὸς κατὰ συμμέτρους ἀποστάσεις σύμβολα φερόντων τῶν κοσμικῶν στοιχείων καὶ κλιμάτων· μετὰ δὲ τοῦτον τὸν Ζωροάστρην κρατήσαντος καὶ παρὰ τοῖς

1. ὑαίνας] λεαίνας· Felicianus ex coniectura. 7. κύκλου] τὴν ζωδιακοῦ κύκλου φύσιν suggerit Cumont. 18. τοῦ πάντων θεοῦ ποιητοῦ cod. Marcianus. 23. τὸν Ζωροάστρην omisit cod. Marcianus.

ἄλλοις, δι' ἄντρων καὶ σπηλαίων εἴτ' οὖν αὐτοφυῶν εἴτε χειροποιήτων τὰς τελετὰς ἀποδιδόναι.

344.
Porphyrius

de antro nymph. 15 (Nauck):

κέχρηνται δὲ τῷ μέλιτι οἱ θεολόγοι πρὸς πολλὰ καὶ διάφορα σύμβολα διὰ τὸ ἐκ πολλῶν αὐτὸ συνεστάναι δυνάμεων, ἐπεὶ καὶ καθαρτικῆς ἐστι δυνάμεως καὶ συντηρητικῆς. τῷ γὰρ μέλιτι ⟨πολλὰ⟩ ἄσηπτα μένει καὶ τα χ όνια τραύματα ἐκκαθαίρεται μέλιτι. ἔστι δὲ γλυκὺ τῇ γεύσει καὶ συναγόμενον ἐξ ἀνθῶν ὑπὸ μελιττῶν, ἃς βουγενεῖς εἶναι συμβέβηκεν. ὅταν μὲν οὖν τοῖς τὰ λεοντικὰ μυουμένοις εἰς τὰς χεῖρας ἀνθ' ὕδατος μέλι νίψασθαι ἐγχέωσι, καθαρὰς ἔχειν τὰς χεῖρας παραγγέλλουσιν ἀπὸ παντὸς λυπηροῦ καὶ βλαπτικοῦ καὶ μυσαροῦ καὶ ὡς μύστῃ, καθαρτικοῦ ὄντος τοῦ πυρός οἰκεῖα νίπτρα προσάγουσι, παραιτησάμενοι τὸ ὕδωρ ὡς πολέμιον τῷ πυρί. καθαίρουσι δὲ καὶ τὴν γλῶτταν τῷ μέλιτι ἀπὸ παντὸς ἁμαρτωλοῦ, ὅταν δὲ τῷ Πέρσῃ προσάγωσι μέλι ὡς φύλακι καρπῶν, τὸ φυλακτικὸν ἐν συμβόλῳ τίθενται.

345.
Hieronymus

(* Stridone c. 340 — † 420 p. Chr.)

ep. 107 ad Laetam, 2. (Hilberg): ante paucos annos propinquus vester Graccus nobilitatem patriciam nomine sonans, cum praefecturam regeret ur-

7. ⟨ ⟩ supplevit Hercher. 19. καρπῶν] νεκρῶν ex coniectura Windischmann.

banam, nonne specum Mithrae et omnia portentuosa simulacra, quibus corax, cryphius, miles, leo, Perses, heliodromus, pater initiantur, subvertit, fregit, excussit et his quasi obsidibus ante praemissis impetravit baptismum Christi?

346.

Ambrosiaster

((Auctor saec. IV p. Chr. vixit)

quaest. vet. et nov. Test. 114 (ed. Migne): illud autem quale est quod in spelaeo velatis oculis inluduntur? ne enim horreant turpiter dehonestari se oculis illis velantur, alii autem sicut aves alas percutiunt, vocem coracis imitantes, alii vero leonum more fremunt, alii autem ligatis manibus intestinis pullinis proiciuntur super foveas aqua plenas accedente quodam cum gladio et irrumpente intestina supra dicta, qui se liberatorem appellet.

Tituli

347.

(An. 358 p. Chr.)

CIL, VI, 750: Datiano et Cereale cons(ulibus) Nonius Victor Olympius v(ir) c(larissimus) p(ater) p(atrum) [et]|Aur(elius) Victor Augentius v(ir) c(larissimus) p(ater) tradiderunt persica pri(die) non(as) april(es) fel(iciter). Consulibus s(upra) s(criptis) tradiderunt [h]eliaca | XVI kal(endas) [ma]i(as)] feli c(iter).

348.

(An. 358 p. Chr.)

CIL, VI, 751 a: ..... tradiderunt patrica XIII k(alendas) mai(as) felic(iter). | Consulibus s(upra) s(criptis) ostenderunt cryfios | VIII kal(endas) mai(as) feliciter.

2. cryphius] ita felici ex coniectura Hilberg: nymphus codd.
347, 348. Duo ex septem titulis Romae in regione VII, prope sanctum Sylvestrum in Capite, inventis.

INDEX SCRIPTORUM

INDEX SCRIPTORUM

Pag.	lin.	ERRATA	CORRIGE
6	9	ʿΑραβίας	ʾΑραβίας
»	29	tertio	quarto
10	11	εἰς	εἱς
»	13	αἶς	αἷς
12	17	(et alibi) 50 a. Chr.	50 p. Chr.
»	18	γυναίκες ἐνοχοι	γυναῖκες ἔνοχοι
15	4	οἶδ' ἔτι	οἶδ' ἔτι
»	11	δἰ	δι'
19	12	θανατωθῆ	θανατωθῆ
23	13	stuprun	stuprum
26	20	ἧν	ἦν
27	13	Πρακλεωτου	ʿΗρακλεώτου
30	20	ad Remp.	ad Plat. Remp.
31	1	ad Phaed.	ad Plat. Phaed.
33	2	ἄνευτε	ἄνευ τε
34	1	ad Phaed.	ad Plat. Phaed.
36	10	ἐδέστων	ἐδεστῶν
38	3	ἐγῶν	ἐγὼν
»	6	ἡκω	ἥκω
»	12	χαιρ⟨ε⟩	χαῖρ⟨ε⟩
39	11	ad Phaed.	ad Plat. Phaed.
44	1	ʾΕ/λευσίνος	ʾΕ/λευσῖνος
44	6	σπαρῆναι	σπαρῆναι
45	5	ἐμβάλλουσιν;	ἐμβάλλουσιν.
47	12	ὧν	ὧν
49	6	δαδουχίας	δᾳδουχίας
»	14	Δἰὸς	Διὸς
50	5	Ιερεὺς	ʿΙερεὺς
»	7	Μολπιδ⟨αι⟩	Μολπίδ⟨αι⟩

Pag.	50	lin. 9	ʽΙερο-φάν⟨τὴν⟩	ʽΙερο-φάν[την]
	51	3	ἤδη ... ὄυνομα	ἤδη ... οὔνομα
	»	4	ἅλὸς	ἁλὸς
	53	15	τυ χανουσιν	τυγχάνουσιν
	57	1	ʼΕλευσῖναδε	ʼΕλευσῖνάδε
	»	3	τῆ	τῆς
	»	15	λεωφό ου	λεωφόρου
	61	5	πολυτίμητοις	πολυτιμήτοις
	80	v. 485	αἴδοῖαί	αἰδοῖαί
	»	v. 494	ἐγω	ἐγώ
	81	10	fecundatem	fecunditatem
	82	3	ῥήμα	ρῆμα
	83	15	εὖδαιμόνων	εὐδαιμόνων
	84	22	ταύτʼ	ταῦτʼ
	»	25	τῇς	τῆς
	84	n. 14	Maass	Maas
	89	4	κάριν	χάριν
	90	19	ἁρπαζεταὶ	ἁρπάζεται
	92	3	αὐτοὶς	αὐτοῖς
	93	15	νάος	ναὸς
	96	3	ʼΑλκιβίαδην	ʼΑλκιβιάδην
	98	5	ζῇν	ζῆν
	99	13	ἁμυήτους	ἀμυήτους
	103	7	ὀρθᾶ	ὀρθὰ
	105	14	ἔστι	ἐστι
	»	15	ἄφεστηκεν	ἀφέστηκεν
	»	19	τοσούτο	τοσοῦτο
	106	17	Καβ ίρων	Καβείρων
	»	20	μεκὰ	μετὰ
	»	23	τάκα	τάχα
	»	25	ὀλιγωρία	ὀλιγωρίᾳ
	107	1	τοὺ	τοῦ
	»	9	Σαμοθρᾷκη	Σαμοθράκῃ
	109	9	πο-	πε-
	111	4	βιῷ	βίῳ
	»	10	πλῆν	πλὴν
	112	»	φησι	φησί
	113	»	ἕνα	ἕνα
	»	16	τῆ	τῇ

Pag. 113	lin. 18	διαίταν	δίαιταν
114	15	ἄνθρον	ἄντρον
115	8	τῆ	τῇ
131	adn. 2	γόνω	16. γονω
132	16	πε υκυῖαν	πεφυκυῖαν
»	21	παραγενόμ νος	παραγενόμενος
»	26	πεφηνότι	πεφηνότι
133	24	τῆ	τῇ
138	1	εἶναί	εἶναι
139	19	Μανέθως	Μανέθων
140	13	προσεγοριας	πρόσεγορίας
141	10	ὄν	ὂν
150	24	δίαλευκος	διάλευκος
151	13	παὶ	καὶ
»	15	ἱερῶ	ἱερῷ
153	adn. 2	γήμασται	γήμασθαι
154	13	ἠσθέντον	ἡσθέντων
»	20	καταχεα έντων	καταχεαθέντων
155	5	τῆ	τῇ
»	16	ὅ	ὅ
156	9	θεραπαίνίδας	θεραπαινίδας
157	10	πρόρωπον	πρόσωπον
159	2	‘ ἱππον ’	‘ ἵππον ’
»	9	Ὄρον	Ὧρον
»	12	προβάλλοντές	προβάλλοντες
»	18	χεῖραν	χεῖρας
160	4	στ μα	στόμα
»	12	μάθηματικοὶ	μαθηματικοὶ
»	19	πρυπτὰ	κρυπτὰ
163	13	ὅ	ὁ
168	»	κατάπερ	καθάπερ
169	18	ἑωρᾶτο	ἑωρᾶτο
170	15	λινᾷ	λινᾶ
171	4	εὐάρμόστον	εὐάρμοστον
177	17	ἡρέρας	ἡμέρας
180	11	ἁγιαν	ἁγίαν
182	28	χώρᾴ	χώρᾳ
184	2	[δ] αλέκτους	[δ]ιαλέκτους
185	25	afluentibus	affluentibus

Pag.	261	lin. 14	λιμνη	λίμνη
	262	5	οὑτος	οὗτος
	263	9	Manibus)	M(anibus)
	»	15	ἐμὸι	ἐμοί
	264	7	ἰχθοῦς	ἰχθῦς
	»	12	λευκῆ	λευκῆ
	»	13	οὑσαν	οὖσαν
	267	17	τοιόσδέ	τοιόσδε
	268	4	ἐνιοισιν	ἐνίοισιν
	»	19	ἐστιν	ἐστίν
	269	27	πῦργον	πύργον
	»	28	κοσμέουσιν	κοσμέουσιν
	270	4	κεφαλῆ	κεφαλῆ
	»	13	κρύ-	χρύ-
	»	20	αὐλῆ	αὐλῆ
	»	21	ἀιεετοὶ	αἰετοὶ
	271	13	τῆ	τῆ
	273	9	τοδε	τόδε
	»	28	οὔκ	οὐχ
	274	9	ἱροτατον	ἱρότατον
	279	8	θ σίας	θυσίας
	281	17	τῶν	τῶν
	»	24	γεγονὼ	γεγονώς
	»	25	ἐποί σε	ἐποίησε
	282	20	οὐ .... πῷ	οὐ ... τῷ
	283	7	Ζαρνοῦαν	Ζαρνοῦὰν
	»	10	λόγω	λόγῳ
	284	5	λογος	λόγος
	»	20	εἶναι	εἶναι
	288	18	ἡμέρον	ἡμέρων
	»	»	τρέτοι	τρίτοι
	290	1	οὖν	οὖν
	»	8	χ όνια	χρόνια



Prezzo L. 25 —


Pag.	261	lin. 14	λιμνη	λίμνη
	262	5	ούτος	οὗτος
	263	9	Manibus)	M(anibus)
	»	15	ἐμὸι	ἐμοί
	264	7	ἰχθοῦς	ἰχθῦς
	»	12	λευκῆ	λευκῆ
	»	13	οὐσαν	οὖσαν
	267	17	τοιόσδέ	τοιόσδε
	268	4	ἐνιοισιν	ἐνίοισιν
	»	19	ἐστιν	ἐστίν
	269	27	πῦργον	πύργον
	»	28	κοσμέουσιν	κοσμέουσιν
	270	4	κεφαλῆ	κεφαλῆ
	»	13	κρύ-	χρύ-
	»	20	αὐλῆ	αὐλῆ
	»	21	ἀιεετοὶ	αἰετοὶ
	271	13	τῆ	τῆ
	273	9	τοδε	τόδε
	»	28	οὗκ	οὐχ
	274	9	ἱροτατον	ἱρότατον
	279	8	θ σίας	θυσίας
	281	17	τὼν	τῶν
	»	24	γεγονὼ	γεγονώς
	»	25	ἐποί σε	ἐποίησε
	282	20	οὗ .... πῷ	οὗ ... τῷ
	283	7	Ζαρνοῦαν	Ζαρνοῦὰν
	»	10	λόγω	λόγῳ
	284	5	λογος	λόγος
	»	20	εἶναι	εἶναι
	288	18	ἡμέρον	ἡμέρων
	»	»	τρέτοι	τρίτοι
	290	1	οὖν	οὖν
	»	8	χ όνια	χρόνια



Prezzo L. 25 —

BL 795 .M9 T9	931379 Turchi Fontes Historiae Mysteriorum	
JL - 8 '48	Thomas	Ag 23 '48
O 1 8 '48	Francis R W Dlt	'48
JUN 21 1960	C Katter	
MAY 13 1963	B Einarson	
	R L Graham	
	5704 Harper	
DEC 25 1965	David Paulsen	
MAY 13 1967	H Brunner	




16 750 035